Commentaries on Hippocrates' Book VI of Epidemics: Commentary 1 by Galen of Pergamon

17a.793 *ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΕΚΤΟΝ ΒΙΒΛΙΟΝ ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ ΠΡΩΤΟΝ*

Οὐκ οἶδ’ ὅπως καὶ τοῦτο τὸ βιβλίον, ὥσπερ καὶ ἄλλο τι τῶν τοῦ Ἱπποκράτους συγγραμμάτων ἐλυμήναντο πολλοὶ τῶν ἐξηγητῶν ἄλλος ἄλλως, ὡς ἕκαστος ἤλπισε πιθανῶς ἐξηγήσασθαι, τὴν κατὰ τοῦτο λέξιν ὑπαλλάττων, ὥστε ἠναγκάσθην ἐγὼ διὰ τοῦτο τά τε παλαιότατα τῶν ἀντιγράφων ἐπιζητῆσαι τά τε ὑπομνήματα τῶν πρώτων ἐξηγησαμένων
17a.794 τὸ βιβλίον, ἐν οἷς καὶ Ζεῦξίς ἐστι καὶ ὁ Ταραντῖνος καὶ ὁ Ἐρυθραῖος Ἡρακλείδης καὶ πρὸ αὐτῶν Βακχεῖός τε καὶ Γλαυκίας. εἰ μὲν οὖν μετὰ τὸ δηλῶσαι τὴν παλαιὰν γραφὴν ἔλεγον ἡμαρτῆσθαι τὴν λέξιν εἰκὸς εἶναι καὶ διὰ τοῦτο ὑπονοεῖν αὐτοὶ τὴν Ἱπποκράτους γραφὴν εἶναι τήνδε τινά, κἂν ἀπεδεξάμην αὐτούς, εἴ γε μετὰ τὴν ἐπανόρθωσιν ἑώρων διδάσκοντάς τι χρήσιμόν τε ἅμα καὶ τῆς γνώμης ἐχόμενον τοῦ παλαιοῦ. ἐπεὶ δὲ ἐνίοτε καὶ κατ’ ἄμφω σφάλλονται, πολὺ βέλτιον ἔδοξέ μοι φυλάττοντι τὴν ἀρχαίαν γραφὴν ἀεὶ μὲν σπουδάζειν ἐκείνην ἐξηγεῖσθαι, μὴ δυνηθέντι δέ ποτε τοῦτο πρᾶξαι πιθανὴν τὴν ἐπανόρθωσιν αὐτῆς ποιεῖσθαι, καθάπερ ὁ Ἡρακλείδης ἐν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν ἐποιήσατο κατὰ τὴν λέξιν ἐκείνην ἐν ᾗ γέγραπται· «πρὸς δὲ τὸ Ἀφροδίσιον αἱ οὐραὶ ἔβλεπον.» ἐπειδήπερ τοῖς ἐξηγησαμένοις τὴν «οὐραὶ» γραφὴν ἀπιθάνως εἴρηται, «τάχα», φησί, «“θύραι” μὲν ἦν γεγραμμένον διὰ τοῦ θ, τῆς μέσης δὲ
17a.795 γραμμῆς ἐν αὐτῷ διαφθαρείσης ἔδοξεν ὁ βιβλιογράφος “οὐραὶ” γεγράφθαι». δυνατὸν γὰρ δὴ οὕτως καὶ λεπτῆς ἰνὸς ἀπολωλυίας συναπολέσθαι τὴν γραμμὴν ταύτην, καὶ μυίας γ’ αὐτὴν ἐκφαγούσης, καὶ κατ’ ἀρχὰς εὐθὺς αὐτὴν ἀμυδρῶς γραφεῖσαν ἐξίτηλον ὑπὸ τοῦ χρόνου γενέσθαι. πάντων δὲ τῶν ὑπαλλαξάντων τὰς παλαιὰς γραφὰς τολμηρότατα τοὺς περὶ Καπίτωνα καὶ Διοσκουρίδην εὑρίσκω πράξαντας τοῦτο. πότερον μὲν οὖν ἄμεινόν ἐστιν ἁπάντων αὐτῶν ἢ μόνων τῶν εὐλόγως μεταγραψάντων ἢ μηδενὸς ὅλως μεμνῆσθαι, σκοπούμενος εὗρον, εἰ μὲν τῷ μήκει τῶν ὑπομνημάτων οὐδεὶς ἔμελλε τῶν ἀναγνωσομένων αὐτὰ δυσχεραίνειν, ἁπάντων μεμνῆσθαι κάλλιον εἶναι,

μεμφομένων δὲ πολλῶν οὐ τούτοις μόνον, ἀλλὰ καὶ τοῖς συμμέτρως ἔχουσι καὶ μόνα σπουδαζόντων τὰ χρήσιμα, μέσην τινὰ τούτων ἀμφοτέρων ποιήσασθαι τὴν ἐξήγησιν καὶ τοῦτο εὐθέως ἐν ἀρχῇ προειπεῖν, ὅπως ἀπαλλάττωνται τῶνδε τῶν ὑπομνημάτων οἱ μὴ
17a.796 χαίροντες τούτοις. ἐγὼ μὲν γάρ, ὥσπερ καὶ τἆλλα πάντα πολλοῖς τῶν δεηθέντων ἑταίρων χαριζόμενος ἐποίησα, καὶ τὰς ἐξηγήσεις ταύτας ἐκείνων ἕνεκα συνέθηκα. θεωρῶν δ' εἰς πολλοὺς ἐκπίπτοντα τὰ γραφόμενα προοιμίων τοιούτων ἐδεήθην. ὥσπερ οὖν τοῦτο προεῖπον, οὕτω καὶ τόδε προειπεῖν ἀναγκαῖόν ἐστιν, ὡς τὸ τῆς ἑρμηνείας εἶδος ἐν τῷδε τῷ βιβλίῳ πάμπολυ διαλλάττει τοῦ κατὰ τὸ πρῶτον καὶ τρίτον τῶν Ἐπιδημιῶν, ἃ σχεδὸν ἅπαντες ἡγοῦνται γεγράφθαι πρὸς ἔκδοσιν ὑφ' Ἱπποκράτους μόνα, τῶν δ' ἄλλων πέντε τὸ μὲν πέμπτον τε καὶ ἕβδομον ἐναργῶς εἶναι νόθα, τὸ δ' ἕκτον τοῦτο καὶ πρὸ αὐτοῦ τὸ δεύτερον, ἐξ ὧν αὐτὸς ὁ Ἱπποκράτης ἑαυτῷ παρεσκευάσατο, φασὶν ὑπὸ Θεσσαλοῦ τοῦ υἱέος αὐτοῦ συντεθῆναι. καὶ τινὲς μὲν ἡγοῦνται καὶ αὐτόν τι παρεγγράψαι τὸν Θεσσαλόν, τινὲς δὲ ἄλλους τῶν μετ' αὐτόν. ἐν μὲν οὖν τῷ πρώτῳ καὶ τῷ τρίτῳ τῶν Ἐπιδημιῶν καταστάσεις γέ τινας γράφει τοῦ περιέχοντος, ἐφ' αἷς τὰ ἐπιδημήσαντα νοσήματα γίγνεται — ταύτῃ γὰρ ἐπ' αὐτῶν αὐτὸς φαίνεται τῇ λέξει χρώμενος καὶ διὰ τοῦτο καὶ τὸ
17a.797 ἐπίγραμμα τοῖς βιβλίοις τοῦτο ἐποιήσατο, τῶν ἐπι δημίων νοσημάτων διδασκαλίας ἐν αὐτοῖς γινομένης, οὐ τῶν αὐτοῦ τοῦ Ἱπποκράτους ἐπιδημιῶν, ἃς ἐποιεῖτο κατὰ τὰς πόλεις —, ἐνταυθοῖ δὲ τοῦτο μὲν ὀλίγον ἐστίν. τὸ δὲ πλεῖστον εἶδος τῆς διδασκαλίας ἀφορισμοί τινες εἶναι φαίνονται, κατὰ περιγραφὴν ἕκαστος ἰδίαν γεγονότες. ὥστε δι' ἀπορίαν οἰκείας ἐπιγραφῆς καὶ ταῦτα τὰ δύο βιβλία συγχρήσασθαί φασι τῇ τῶν «Ἐπιδημιῶν», ὀλίγιστον ἔχοντα τὸ τῆς ἐπιγραφῆς οἰκεῖον. ἐοικὸς δὲ αὐτοῖς ὅσον ἐπὶ τῷ χαρακτῆρι τῆς λέξεως τὸ τέταρτον ἀπολείπεται πάμπολυ τοῦ χρησίμου τῆς θεωρίας. ὅσοι δὲ «Θεσσαλοῦ καταστάσεις» ἐπέγραψαν τὸ προκείμενον βιβλίον τοῦτο, προδήλως ἥμαρτον. ἀλλ' ἀρκεῖ νῦν μοι ταῦτα προειρῆσθαι, γεγραμμένων ἐνίοις τῶν ἐξηγητῶν καὶ ἄλλων οὐκ ὀλίγων, ἃ διὰ τὸ μὴ βούλεσθαι μηκύνειν ἀκόλουθον ἦν παραλιπεῖν.

17a.798 Ὀκόσῃσιν ἐξ ἀποφθορῆς περὶ ὑστέρην καὶ οἰδημάτων ἐς καρηβαρίην τρέπεται.

Ἅπαξ εἰπεῖν τινα κοινὸν λόγον ἐπὶ κοινῷ πράγματι διέγνωκα· τῶν δὴ ἀναγνωσομένων ἑκάστῳ κατὰ τὴν οἰκείαν διάλεκτον, ὅπως ἂν ἑαυτὸν πείσῃ, λέγειν καὶ γράφειν ἐξέστω. τινὲς μὲν γὰρ ὅσῃσι διὰ τριῶν συλλαβῶν, ἔνιοι δ' ὀκόσῃσι διὰ τεσσάρων ἔγραψαν, ἔνιοι δ' οὐ διὰ τοῦ κ γράφουσιν ὀκόσῃσιν, ἀλλὰ διὰ τοῦ π τὴν δευτέραν συλλαβήν, καθάπερ ὁ Καπίτων οὐ τοῦτο μόνον, ἀλλὰ καὶ πάντα τὰ τοιαῦτα. διαφέρει δ' οὐδὲν ὡς πρὸς τὰ τῆς τέχνης ἔργα γράφειν οὕτως ἢ ἐκείνως, ὥστ' ἄμεινον ἔδοξέ μοι μόνας ἐκείνας τῶν γραφῶν προχειρίζεσθαι κατὰ τὸν λόγον, ὅσαι τὸ δηλούμενον ὑπαλλάττουσι, τὰς δὲ ἐν αὐτῇ μόνῃ τῇ λέξει διαφερομένας ἄνευ τοῦ καὶ τὰ πράγματα μετακινεῖν ἐπιτρέπειν, ὡς ἂν
17a.799 ἐθέλῃ γράφειν καὶ λέγειν, ἑκάστῳ. αὖθις οὖν ἀφ' ἑτέρας ἀρχῆς ἀναλαβὼν τὴν προγεγραμμένην ῥῆσιν ἐπὶ τὴν ἐξήγησιν αὐτῆς τρέψομαι.

Ὀκόσῃσι ἐξ ἀποφθορῆς περὶ ὑστέρην καὶ οἰδημάτων ἐς καρηβαρίην τρέπεται καὶ κατὰ τὸ βρέγμα αἱ ὀδύναι καὶ ὅσαι ἄλλαι ἀπὸ ὑστερέων, ταύτῃσιν ἐν ὀκτὼ ἢ δέκα μησὶν ἐς ἰσχίον τελευτᾷ.

Ὃ καλοῦσιν «ἄμβλωσιν» οἱ Ἀττικοί, τοῦτο συνήθως Ἱπποκράτης ἀποφθορὰν ὀνομάζει, καὶ τὰ ῥήματα δὲ τὰ παρακείμενα τῇ προσηγορίᾳ τῇδε καὶ τὰς ὑπὸ τῶν γραμματικῶν ὀνομαζομένας μετοχὰς ἀνὰ λόγον αὐτῇ γράφει. τὸ δ' «ἀμβλώσκειν» — ἴσως γάρ τις ἀγνοεῖ καὶ τοῦτ' αὐτό — κατὰ τῆς ἀτελοῦς τῶν ἐμβρύων ἐκτρώσεως ἐπιφέρουσιν, ὅπως ἂν ᾖ γεγονυῖα, καὶ τὰ φάρμακα δὲ τὰ τοῦτ' ἐργαζόμενα καλοῦσιν
17a.800 «ἀμβλωτικά». τὸ μὲν οὖν σημαινόμενον ὑπὸ τῆς λέξεως ἅπαξ εἰρῆσθαι νῦν ἀρκέσει. τῶν δὲ χρησίμων ἀρκτέον ἤδη, τοσοῦτον ἐπισημηναμένους, ὡς ταύτην τὴν ῥῆσιν οἱ παλαιοὶ τῶν ἐξηγητῶν ἐν τῇδε τῇ λέξει γράφουσιν· «ὀκόσῃσιν ἀπὸ φθορῆς περὶ ὑστέρας καὶ οἰδημάτων εἰς καρηβαρίας τρέπεται», φθοράν, οὐκ ἀποφθορὰν βουλόμενοι δηλονότι τὴν ἄμβλωσιν ὀνομάζειν. οἱ δὲ προστιθέντες τὴν ἐξ πρόθεσιν ἀποφθορὰν δηλονότι αὐτὴν ἐβουλήθησαν καλεῖσθαι. φαίνεται μὲν οὖν καὶ οὕτω πολλάκις ὀνομάζων Ἱπποκράτης, εἰ μέντοι καὶ νῦν, ἄδηλον. ὥσπερ δ' ἐν τούτῳ, κἂν διαφερόντως γράφωσι, τὴν αὐτὴν τοῦ λόγου φυλάττουσι

διάνοιαν, οὕτω κἀν τῷ περὶ ὑστέρας πληθυντικῶς ἢ ὑστέρην ἑνικῶς ἢ καρηβαρίην ἑνικῶς ἢ καρηβαρίας πληθυντικῶς οὐχ ὑπαλλάττουσι τὴν τοῦ λόγου διάνοιαν. ὅθεν ἐγὼ παρῃτησάμην καὶ τοιαύτας ἐν τῇ λέξει διαφωνίας κρίνειν, ὅσαι τῶν δηλουμένων πραγμάτων οὐδὲν ὑπαλλάττουσι.

τὸ γοῦν λεγόμενον ὑφ' Ἱπποκράτους τοιοῦτόν ἐστιν· «αἷς ἂν γυναιξὶν ἐπὶ
17a.801 διαφθορᾷ τῶν ἀμβρύων οἰδήματα ἐχούσαις ἐν τῇ μήτρᾳ κατὰ συμπάθειαν ἀκολουθήσῃ καρηβαρία, ταύταις κατὰ τὸ βρέγμα γίγνεσθαι τὴν ὀδύνην. ὡσαύτως δὲ καὶ τὰς ἄλλας καρηβαρίας, ὅσαι διὰ τὰ τῆς μήτρας πάθη γίνονται, κατὰ τὸν αὐτὸν λόγον ἐρειδούσας ἔχειν τὰς ὀδύνας εἰς τὸ βρέγμα.» πρῶτον μὲν οὖν ἀναγκαῖόν ἐστιν ἐπισκέψασθαι, τί ποτε σημαίνει τὸ τοῦ οἰδήματος ὄνομα. φαίνεται γὰρ ὁ Ἱπποκράτης ἀεί, καθότι δέδεικται πολλάκις, ἅπαντας τοὺς παρὰ φύσιν ὄγκους οὕτως ὀνομάζων, ἐάν τε ἀνώδυνοι καὶ σκληροὶ τυγχάνωσιν ὄντες, οὓς ὀνομάζουσιν ἰδίως σκίρρους, ἐάν τε ὀδύνην ἔχωσιν, οὓς ὀνομάζουσιν ἰδίως φλεγμονάς, ἐάν τε ἀνώδυνοί τ' ὦσι καὶ χαῦνοι, καλοῦσι δὲ μόνους τούτους οἰδήματα. νυνὶ μέντοι φαίνεται τοιούτων οἰδημάτων μνημονεύων, ὅσα γε χρονίσαι δύναται καὶ καρηβαρίαν ἐργάσασθαι, τουτέστι τῆς κεφαλῆς βάρος. ὅτι μὲν οὖν ἐπὶ ταῖς διαφθοραῖς τῶν ἐμβρύων εἴωθε γίνεσθαι τοῦτο, τὸ φαινόμενον αὐτὸ μαρτυρεῖ. τίς δ' ἐστὶν ἡ αἰτία τοῦ μᾶλλον τῶν ἄλλων
17a.802 τῆς κεφαλῆς μερῶν ὀδυνᾶσθαι τὸ βρέγμα πειρα θέντες εὑρεῖν ἔνιοι τῶν ἐξηγησαμένων τὸ βιβλίον ἀλλήλοις διηνέχθησαν, τινὲς μὲν τὸ κατ' ἴξιν, ὅπερ ἐστὶ τὸ κατ' εὐθυωρίαν, αἰτιασάμενοι· τοῖς μὲν γὰρ κατ' ὀσφύν τε καὶ ὅλως τὴν ῥάχιν ἐν πάθει τινὶ γενομένοις μορίοις ἐπὶ τὸν ὀπίσθιον ἐγκέφαλον ἀνήκειν φασὶ τὴν εὐθυωρίαν, τοῖς δὲ κατὰ τὰ, ἔμπροσθεν τοῦ σώματος ἐπὶ τὸ βρέγμα· τινὲς δὲ καὶ τῆς μήτρας αὐτῆς τοῖς μὲν τὰ ὄπισθεν πάσχουσι τὰ κατὰ τὸ ἰνίον φασὶ συμπάσχειν, τοῖς δὲ τὰ πρόσω τὰ κατὰ τὸ βρέγμα· τινὲς δὲ ἀποχωρήσαντες ἀπὸ τοῦ κατ' εὐθυωρίαν, ὃ δὴ καὶ κατ' ἴξιν ὁ Ἱπποκράτης ὀνομάζει συμπάσχειν φασὶ τῇ μήτρᾳ τὸν ἐγκέφαλον, ὡς ἂν νευρώδει μορίῳ νεύρων ἀρχῆς ὄντος αὐτοῦ, καὶ διὰ τοῦτο γίνεσθαι τὰς καρηβαρίας, ἅτε δὲ πλείστου κατὰ τὸ βρέγμα κειμένου τοῦ ἐγκεφάλου, κατὰ τοῦτο διασημαίνειν μάλιστα τὴν ὀδύνην. ἔνιοι δὲ ἀσθενέστατον εἶναι τοῦτο τὸ μέρος τῆς ὅλης κεφαλῆς εἰπόντες εἰκότως

φασὶ μειζόνως τῶν ἄλλων αὐτὸ πάσχειν. ὅσοι μὲν γὰρ ἀπὸ τῶν μέσων τοῦ ἐγκεφάλου τῶν κατὰ τὸ βρέγμα ἐπὶ τὰς μήτρας νεῦρα πεφυκέναι λέγουσι, τούτων οὐδὲ μεμνῆσθαι καλόν, ὥσπερ ἴσως οὐδὲ τῶν
17a.803 φασκόντων, ὡς, διότι νευρώδης ἡ μήτρα, διὰ τοῦτο αὐτῇ συμπάσχει παθούσῃ καὶ τῶν νεύρων ἡ ἀρχή. πῶς γὰρ οὐκ ἂν ἐγγὺς μᾶλλον ὂν τὸ περιτόναιον καὶ τὰ ἔντερα καὶ ἡ γαστὴρ καὶ τὸ διάφραγμα συνεπάθησεν αὐτῇ, νευρώδη γε ὄντα καὶ αὐτά; τούτων δ' ἔτι χείρους οἱ λέγοντες τοῖς ὄρχεσι τὸν ἐγκέφαλον συμπάσχειν, ἐπειδὴ καὶ αὐτοὶ τὴν αὐτὴν ἔχουσιν οὐσίαν ἐγκεφάλῳ, καὶ διὰ τοῦτο καὶ τῇ μήτρᾳ, καὶ γὰρ καὶ ταύτην ὄρχεις ἔχειν. ἐὰν δὲ καὶ τῶν ἔτι φαυλοτέρων ἢ κατὰ τούτους μνημονεύω, τάχ' ἄν τις ἐγκαλέσει μοι καὶ φήσει μηδ' ὧν ὀλίγον ἔμπροσθεν ἔγραψα μεμνῆσθαί με. κάλλιον οὖν ἦν παρῃτημένον τὰς φλυαρίας αὐτῶν ἅπαξ μηδ' ὅλως ἔτι μνημονεύειν ὧν εἰρήκασι.

τῶν δὲ λεγόντων νευρώδη τὴν μήτραν εἶναι κατὰ μέν τι σημαινόμενον ἀληθῆ τὸν λόγον ἡγητέον εἶναι, καθ' ἕτερον δὲ ψευδῆ. τρία γάρ ἐστι γένη σωμάτων ὁμοιομερῶν ἐν τοῖς ζῴοις ἄναιμά τε καὶ ἀκοίλια φαινόμενα, τὰ
17a.804 μὲν ἐξ ὀστῶν, τὰ δ' ἐξ ἐγκεφάλου καὶ νωτιαίου, τὰ δὲ ἐκ μυῶν φυόμενα. ὀνομάζεται δὲ ὑπὸ μὲν Ἱπποκράτους τοὐπίπαν τὸ μὲν πρῶτον αὐτῶν εἰρημένον σύνδεσμος, τὸ δὲ δεύτερον νεῦρόν τε καὶ τόνος, τὸ δὲ τρίτον τένων. ἔνιοι δὲ νεῦρα πάντα καλέσαντες δι' ἣν εἶπον ὁμοιότητα τὸ μὲν πρῶτον αὐτῶν γένος συνδετικὸν εἶναί φασι, τὸ δὲ δεύτερον αἰσθητικόν τε καὶ προαιρετικόν, τὸ δὲ τρίτον ἀπονεύρωσιν ὀνομάζουσιν. ἀλλ' οὐδ' ἐξ ἑνὸς τῶν τριῶν τούτων γενῶν ἡ μήτρα μετέχει νεύρων πολλῶν. ἐπεὶ δ' ἔκτασίν τε καὶ συστολὴν ἄχρι πλείστου τὸ σῶμα αὐτῆς φαίνεται ποιούμενον, ὃ μήτε τοῖς σαρκώδεσι· μήτε τοῖς πιμελώδεσι μορίοις ὑπάρχει, κατὰ τοσοῦτον νευρώδη προσαγορεύομεν αὐτὴν ἀπό τινος ὁμοιότητος, κἀντεῦθεν παράγωγον ὄνομα τῶν νεύρων ποιησάμενοι, καθάπερ ἀμέλει καὶ τὴν κύστιν οὕτω προσαγορεύειν εἰώθασι καὶ τἆλλα πάντα τὰ λευκὰ καὶ ἄναιμα κατὰ τὴν οὐσίαν, ὅταν ἐκτείνεσθαί τε μέχρι πλείστου καὶ πάλιν εἰς ἑαυτὰ συνιζάνειν φαίνηται. κατὰ τοῦτο γοῦν αὐτὸ
17a.805 καὶ τὴν τοῦ καλουμένου καυλοῦ φύσιν ἐν τοῖς τῶν ἀρρένων αἰδοίοις νευρώδη φασὶν εἶναι καὶ τῆς μήτρας τὸν τράχηλον. εἰσὶ δ' οἳ καὶ σηραγγῶδές τε νεῦρον ὀνομάζουσι τὸν καυλὸν τοῦ αἰδοίου καὶ δι'

ἐκεῖνον καὶ ὅλον αὐτὸ νευρῶδες καλοῦσι. κἄπειτ᾽ ἐπιλαβόμενοι τῆς ὁμοιότητος, οὐ κατὰ τὴν δύναμιν τῶν ὄντως νεύρων, ἀλλὰ κατὰ τὴν σωματικὴν οὐσίαν αὐτῆς οὔσης, ζητοῦσι διὰ τί συμπαθείας οὐ φέρει μεγάλας ταῖς τῶν νεύρων ἀρχαῖς ὁ καυλός· ἀρχὰς δὲ δηλονότι νεύρων ἐγκέφαλόν τε καὶ νωτιαῖον λέγω. καὶ κατὰ τὴν μήτραν τοίνυν ἐμφύεται μέν τινα νεῦρα πάντως, ἢ οὐκ ἂν ᾐσθάνετο. μικρὰ δ᾽ ἐστὶ πάνυ ταῦτα παραβαλλόμενα τῷ μεγέθει τοῦ μορίου καὶ διὰ τοῦτο ζητήσεως οὐ μικρᾶς ἐστιν ἄξιον, ἐάν τις θέλῃ φυσιολογεῖν τὰ τοιαῦτα, τί δή ποτε ἔνιαι τῶν ὑστερικῶν ὀνομαζομένων γυναικῶν συνολκαῖς καὶ τάσεσι σπασμῷ παραπλησίαις ἁλίσκονται. ἀλλ᾽ ἐπί γε φλεγμαινούσης μήτρας οὐ πάνυ τι φαίνεται τοῦτο γινόμενον, ὥσπερ οἱ πυρετοὶ πάνυ σφοδροὶ καὶ θερμοί,
17a.806 δι᾽ οὓς καὶ ἡ γλῶσσα γίνεται λιγνυώδης, ὡς αὐτὸς ἑξῆς ἐρεῖ κατὰ τοῦτο τὸ βιβλίον. ἐχρῆν οὖν καὶ ταῦτα ζητῆσαι πρῶτον, ὅσοι περὶ συμπαθείας τι τῆς κεφαλῆς, ἣν πρὸς τὴν μήτραν ἴσχει, λέγειν ἐπιχειροῦσιν· ὅτι μὲν γὰρ θερμοὺς καὶ σφοδροὺς ἐπιφέρει πυρετούς, οἱ τοῖς ἔργοις τῆς τέχνης ὁμιλήσαντες ἴσασιν. ἀλλ᾽ οἵ γ᾽ ἐν Ἀλεξανδρείᾳ σοφιστεύσαντες, ὑφ᾽ ὧν ἐπληρώθη μάλιστα μακρῶν καὶ ψευδῶν λόγων τὰ βιβλία, τοῖς ἐξ ἀγέλης ἥκουσι τοὐπίπαν ὁμιλοῦσι μειρακίοις μήθ᾽ ἑωρακόσιν ἀρρώστους μήτ᾽ αὐτοὶ τετριμμένοι περὶ τοῦτο. πάνυ γὰρ ἠμέληται τοῖς ἐκεῖ πᾶσιν ἀνθρώποις τὰ κατὰ δίαιταν. ὅσοι τοίνυν ἑωράκασιν ἐπὶ μήτρᾳ φλεγμαινούσῃ νοσούσας γυναῖκας, ἴσασιν ὅπως θερμοὶ καὶ σφοδροὶ πυρετοὶ καταλαμβάνοντες ὅλον τὸ σῶμα διακαίουσι τὴν κεφαλὴν ὁμοίως τοῖς καὶ χωρὶς τοῦ παθεῖν τι τὴν μήτραν τοιούτοις γινομένοις. ἀλλὰ κἂν μὴ πυρέττωσιν ἐπιδήλως, αἷς ἐπέσχηται τὰ καταμήνια, κίνδυνός ἐστιν ἐν τάχει πυρέξαι, καὶ ταύταις ἡ κεφαλὴ βαρεῖα καὶ πλήρης
17a.807 ἀτμῶν τε καὶ θερμῶν χυμῶν γίνεται καὶ διὰ τοῦτ᾽ αὐτῶν ἔνιαι κωματώδεις εἰσίν, εἴτε πυρέξουσιν εἴτε μή. ταῦτα μὲν οὕτω φαίνεται γινόμενα. τίς δ᾽ ἐστὶν αἰτία, δι᾽ ἣν ἐπὶ ταῖς τοιαύταις διαθέσεσι τῆς ὑστέρας ἡ κεφαλὴ πληροῦται, μετὰ ταῦτα ἐχρῆν ζητεῖν, εὐχόμενον μὲν εὑρεῖν, εἰ δὲ μή, ἀλλὰ τό γε φαινόμενον ἐκ τῆς ἐμπειρίας φυλάττοντά τε καὶ μεμνημένον. ἐπιχειρήσωμεν οὖν ἡμεῖς εἰπεῖν τινας περὶ τῶν οὕτως φαινομένων αἰτίας, ἐντεῦθεν ἀρξάμενοι· τῶν κατὰ τὸ σῶμα μορίων ἁπάντων πλείστας τε καὶ μεγίστας φλέβας ἔχουσιν αἱ μῆτραι, καὶ ὅταν γε

κακοπραγῶσιν ἐξ ἐπισχέσεως καταμηνίων ἢ λοχείων διά τινα φλεγμονὴν ὁπωσοῦν γινομένης, ἀναγκαῖον αὐτὰς αἵματος ἐμπίπλασθαι, κἂν ἐπ᾽ αὐτῷ σηπομένῳ πυρετὸς ἀνάπτηται, ἀπὸ τῆς ἰδέας τῶν συνόχων ἀναγκαῖον αὐτὸν γίνεσθαι. δέδεικται γὰρ ἐφ᾽ αἵματι σηπομένῳ τοὺς τοιούτους ἀνάπτεσθαι πυρετούς, ἀτμῶν θερμῶν πλῆθος οὐκ ὀλίγον
17a.808 ἀναπέμποντας ἐπὶ τὴν κεφαλήν. ὅτι δὲ ὑφ᾽ ἧς ἂν αἰτίας ἡ κεφαλὴ πληρωθῇ τοιούτων ἀτμῶν αἱ καρηβαρίαι μάλιστα κατὰ τὸ βρέγμα φαίνονται λυποῦσαι τὸν ἄνθρωπον, οἷς τῶν ἔργων τῆς τέχνης φροντὶς ἐγένετο, φθάνουσι γινώσκοντες πρὶν παρ᾽ ἡμῶν ἀκοῦσαι. ἀλλὰ τίς ἡ αἰτία τοῦ συμβαίνοντος ἴσως ἀκοῦσαι ποθήσεις· ἐρῶ τοίνυν σοι τήν γέ μοι δοκοῦσαν εἶναι πιθανωτάτην καὶ ταύτην οὐ μίαν, ἀλλὰ πλείους. πρῶτον μὲν γάρ, ὅτι τοὺς εἰρημένους θερμοὺς ἀτμοὺς εὔλογόν ἐστι διὰ τῶν ἀρτηριῶν ἐπὶ τὴν κεφαλὴν ἀναφέρεσθαι, καὶ ταύτας ἔστιν ἰδεῖν κατ᾽ εὐθὺ τοῦ βρέγματος ἀνερχομένας ἐκ τοῦ τραχήλου τῆς καλουμένης χοάνης ἑκατέρωθεν. ἔπειτα δ᾽ ὅτι καὶ διαπνεῖσθαι καθ᾽ ὅλον τὸν τῆς ὑγείας χρόνον εἴθισται τὰ λεπτὰ καὶ ἀτμώδη τῶν τοῦ ἐγκεφάλου περιττωμάτων κατὰ τὸ βρέγμα μάλιστα· καὶ γὰρ κατὰ τοῦτο ἀραιότατάί εἰσιν αἱ ῥαφαὶ καὶ τὸ κράνιον αὐτὸ λεπτότατόν τε καὶ σηραγγωδέστατον· ἔτι τε πρὸς τούτοις αἰσθητικὰ σώματα κατὰ τὰς ῥαφάς ἐστι πλείω· καὶ γὰρ ὑμένες τινὲς συνάπτουσι τὴν παχεῖαν μήνιγγα τῷ περικρανίῳ καὶ πλῆθος
17a.809 ἀγγείων λεπτῶν διεξέρχεται. τῶν δ᾽ ἴσων κατὰ τὸ μέγεθος παθημάτων μᾶλλον αἰσθάνεται τὰ αἰσθητικώτερα φύσει, τὰ δὲ μᾶλλον αἰσθανόμενα μᾶλλον ὑπὸ τῶν ὀδυνηρῶν αἰτίων ἀνιᾶται. διὰ ταῦτα μὲν δὴ κατὰ τὸ βρέγμα εἰσὶν αἱ ὀδύναι.

καταλείπεται δὲ τὴν αἰτίαν εὑρεῖν, δι᾽ ἣν ἐν ὀκτὼ ἢ δέκα μησὶν ἐς ἰσχίον τελευτᾷ, τουτέστι κατασκήπτει τὸ νόσημα ταῖς οὕτως ἐχούσαις. ἐπεὶ δὲ ἀξιοῦσιν ἔνιοι γράφειν οὐκ ἐν ὀκτὼ ἢ δέκα μησίν, ἀλλ᾽ «ἐν ὀγδόῳ ἢ δεκάτῳ» καί φασιν ἐν πολλοῖς τῶν ἀντιγράφων εὑρίσκεσθαι καὶ μάλιστα τῶν παλαιοτάτων τὸ στοιχεῖον η′ καὶ πάλιν τὸ ι′ στοιχεῖον, ἦτα μὲν ἀντὶ τῶν ὀκτὼ γεγραμμένον, ἰῶτα δὲ ἀντὶ τῶν δέκα, προσεπισκέψωμεν καὶ τὴν ἐν τούτοις διαφοράν. ἐὰν μὲν γὰρ ἐν ὀκτὼ ἢ δέκα μησὶ λέγωμεν ἐς ἰσχίον τελευτᾶν, ἀπὸ τῆς ἀμβλώσεως, οὐκ ἀπὸ τῆς συλλήψεως ἀριθμήσομεν· ἐὰν δὲ ἐν ὀγδόῳ ἢ δεκάτῳ μηνί, τὸν ἀπὸ τῆς συλλήψεως

χρόνον οὕτω δηλοῦσθαι φήσομεν. ἐμοὶ δ' οὐκ ἀδύνατον τοῦτο φαίνεται καθ' ἑκατέραν τῶν λέξεων ἑκατέρως ἀκούειν καὶ χρὴ τοῦ λεγομένου τὴν
17a.810 κρίσιν ἐπὶ τῇ πείρᾳ τίθεσθαι, καθάπερ ἐγὼ διὰ παντὸς ἐπὶ πάντων τε τῶν τοιούτων ἐποίησα καὶ τοῦδε τοῦ νῦν εἰρημένου. καί μοι παραφυλάττοντι ποτὲ μὲν ἐν μ′ ἡμέραις, ἐνίοτε δ' ἐν δύο μησὶν ἢ τέτταρσιν ἐφάνη τελευτῆσαν τὸ νόσημα, τισὶ δὲ καὶ μέχρι πλειόνων ἐξετάθη, καί τινες ὄντως εἰς ὄγδοον ἦλθον μῆνα καὶ ἄλλαι τινὲς εἰς δέκατον. ἐθεασάμην δὲ καὶ τὴν εἰς ἰσχίον ἐκ μήτρας ἀπόστασιν, ἀλλ' οὐκ ἐπὶ πολλῶν, καίτοι πολλὰς ἐφ' ὑστέρᾳ κακοπραγούσῃ χρονίως πασχούσας εἶδον. ὀκνηρῶς οὖν εἶχον ζητεῖν τὴν αἰτίαν οὗ μήπω τὴν ὕπαρξιν εὗρον ἀληθευομένην. ὁ γὰρ Ἀριστοτέλης ἀξιοῖ προεγνωσμένου βεβαίως τοῦ ὅτι ζητεῖσθαι χρῆναι τὸ διότι. πρὶν δ' ὅτι γίνεται βεβαίως μαθεῖν, εἴ τις ζητοίη τὸ διότι, φανερός ἐστιν ἀδολεσχεῖν τε καὶ ληρεῖν προῃρημένος, οὐ τἀληθὲς εὑρεῖν ὀρεγόμενος. οἱ γοῦν ἐπιχειρήσαντες εἰπεῖν καὶ τοῦδε τὴν αἰτίαν τοιαῦτα λέγουσιν· ὅσοι μὲν γὰρ ἀπὸ τοῦ τῆς ἀμβλώσεως χρόνου ὀκτὼ ἢ δέκα
17a.811 μῆνας ἀριθμεῖν ἀξιοῦσι, τὴν ὑστέραν φασὶν εἰθίσθαι κακοπαθεῖν ἐν δυσὶ τούτοις χρόνοις, ὀγδόῳ καὶ δεκάτῳ μηνί· κατὰ μὲν γὰρ τὸν ὄγδοον μῆνα στρέφεσθαι τὸ ἔμβρυον, ἀποκυΐσκεσθαι δ' ἐν τῷ δεκάτῳ· καὶ νῦν οὖν ἐν ταῖς αὐταῖς προθεσμίαις τὴν τῶν λυπούντων ἀπόκρισιν ποιεῖσθαι δι' ἀποσκήμματος εἰς χωρίον πλησίον τε κείμενον καὶ δέξασθαι τὰ πεμπόμενα δυνάμενον. ὅσοι δ' ἀπὸ τοῦ τῆς συλλήψεως χρόνου κελεύουσιν ἀριθμεῖν, εὐλογώτερον εἶναί φασιν, ὡς, εἰ καὶ μηδεμία μεταξὺ φθορὰ περὶ τὸ ἔμβρυον ἐγεγόνει, νεωτέραν ἄν τινα κίνησιν ἡ μήτρα περὶ αὐτὸ κατὰ τοὺς χρόνους τούτους ἔσχεν ἢ στρεφόμενον ἢ ἐκκρινόμενον, οὕτω καὶ νῦν ἴσχειν. ἑκάτεροι δ' ἁμαρτάνουσι τὰς κινήσεις τοῦ ἐμβρύου ταῖς ὑστέραις ἀνατιθέντες. εἴ τε γὰρ στρέφεται κατὰ τὸν ὄγδοον μῆνα, πάντως δήπου τὴν κίνησιν ταύτην ἐξ ἑαυτοῦ ποιεῖται, τήν τ' ἀποκύησιν, ὅταν κινούμενον ἰσχυρότερον ἀπορρήξῃ τινὰ τῶν περιεχόντων ὑμένων, λαμβάνει. τοῦτο γὰρ κἀν τῷ Περὶ παιδίου φύσεως εἴρηται κατὰ τήνδε τὴν λέξιν· «Ὅταν δὲ τῇ γυναικὶ ὁ τόκος
17a.812 παραγίνηται, συμβαίνει τότε τῷ παιδίῳ κινουμένῳ καὶ ἀσκαρίζοντι καὶ χερσὶ καὶ ποσὶ ῥῆξαί τινα τῶν ὑμένων τῶν ἐσωτάτω. ῥαγέντος δὲ ἑνὸς οἱ λοιποὶ ἀκιδνοτέρην δύναμιν ἔχουσι καὶ ῥήγνυται πρῶτος μὲν ὁ ἐκείνου

ἐχόμενος, ἔπειτα ὁ ὕστατος.» ὅταν οὖν μηκέτι ἐν τῇ μήτρᾳ περιέχηται τὸ παιδίον ἀμβλωθέν, οὐδὲ τὰς κινήσεις αὐτοῦ σῴζεσθαι δυνατόν ἐστιν. ὁμοίως δὲ τούτοις εἰσὶν ἀπίθανοι καὶ ὅσοι φασὶ τὸν ἕβδομον μῆνα καὶ τὸν ἔνατον τὰς ἀποκυήσεις τῶν ἐμβρύων ἔχειν, τὸν δὲ ὄγδοον καὶ δέκατον τὰς παρὰ φύσιν ἀποστάσεις ὑστεριζούσας ἑνὶ μηνὶ τῶν κατὰ φύσιν, ὅπερ κατὰ τὸ δεύτερον τῶν Ἐπιδημιῶν εἰρῆσθαί φασι κατ' ἐκείνην τὴν λέξιν, ἐν ᾗ φησι· «τῇ ὑστεραίῃ ... », ὡσανεὶ τῷ ὑστέρῳ χρόνῳ ἢ μηνί. προεξηγησάμεθα δὲ τοῦτο κατ' ἐκεῖνο τὸ βιβλίον, ἐγὼ δὲ εἰ τὸ λεγόμενον αὐτὸ πρότερον ἑωράκειν οὕτως ἔχον, ἐζήτουν ἂν αὐτοῦ φιλοπονώτερον τὴν αἰτίαν. ἐπεὶ δ' ἐν πολλαῖς χρόνων προθεσμίαις ἐθεασάμην τὰ τῆς ὑστέρας πάθη κρινόμενα καὶ συμφωνοῦντά γε ταῖς τῶν
17a.813 κρισίμων ἡμερῶν περιόδοις, ἃς αὐτὸς ἐδίδαξεν ἐν Προγνωστικῷ, καταλείπω τὴν ζήτησιν τῆς αἰτίας, οὔτε διὰ παντὸς ὁρῶν τὸ εἰρημένον οὕτως ἔχον οὔθ' ὡς τὸ πολύ. τεθεαμένον δ' ἴσως κατὰ τύχην ἐπὶ δυοῖν ἢ τριῶν γυναικῶν τὸν ταῦτα γράψαντα συμβὰν οὕτως, εἴθ' ὁ Ἱπποκράτης αὐτός ἐστιν εἴτε Θεσσαλὸς εἴτ' ἄλλος τις, ἀποφήνασθαι προπετέστερον ἡγοῦμαι καθολικὴν ἀπόφασιν ἐπὶ πράγματι μήτε διὰ παντός, ὡς ἔφην, μήτε πολλάκις γιγνομένῳ. ταῦτα μὲν οὖν ἡμῖν τέλος ἐχέτω.

μνημονεύσωμεν δὲ τῶν προσθέντων ἐν τῇ γραφῇ τὸν καὶ σύνδεσμον ἐν τῷ μεταξὺ τοῦ τ' ἐς καρηβαρίην τρέπεται καὶ τοῦ κατὰ τὸ βρέγμα ὀδύναι καὶ ποιήσωμεν ὅλην τὴν γραφὴν τοιάνδε· «ὅσῃσιν ἀπὸ φθορῆς περὶ ὑστέρην καὶ οἰδημάτων ἐς καρηβαρίην τρέπεται καὶ κατὰ τὸ βρέγμα ὀδύναι καὶ ὅσαι ἄλλαι ἀπὸ ὑστερέων, ταύτῃσιν ἐν ὀκτὼ ἢ δέκα μησὶν ἐς ἰσχίον τελευτᾷ.» ἰατρικὸν γάρ τινα διορισμὸν εἰς πρόγνωσιν χρήσιμον, οὐκ αἰτιολογικὸν ἐπεισάγουσι, τῷ πρόσθεν λόγῳ τοιαύτην ἀξιοῦντες
17a.814 εἶναι τὴν διάνοιαν· «ὅσαις γυναιξὶν οἰδημάτων ἐν ταῖς μήτραις ἐπ' ἀμβλώσει γινομένων εἰς καρηβαρίαν τρέπεται καὶ κατὰ τὸ βρέγμα αὐταῖς ὀδύναι γίγνονται, ταύταις ἐν ὀκτὼ ἢ δέκα μησὶν εἰς ἰσχίον μετάστασίς ἐστι τῶν τὰς μήτρας λυπούντων», ὡς οὔτε πάντων τῶν κατὰ τὰς ὑστέρας οἰδημάτων κατὰ τὸ βρέγμα τὰς ὀδύνας ἐργαζομένων οὔτε πάντων εἰς ἰσχίον κατασκηπτόντων, ἀλλ' ἐκείνων μόνον, ὅσα κατὰ τὸ βρέγμα ποιεῖται τὰς ὀδύνας. ἀλλ' οὐδὲ τοῦτο παραφυλάξας εὗρον οὕτω γινόμενον, οὐ μὴν οὐδ' αὐτοί τινα λόγον αὐτοῦ λέγουσι. διὰ τί γὰρ

ἐκεῖνα μόνα τῶν κατὰ τὰς μήτρας οἰδημάτων εἰς ἰσχίον ἀποσκήπτειν ἀξιοῦσιν, ὅσα κατὰ τὸ βρέγμα τὰς ὀδύνας ἐποιήσατο, λέγειν οὐκ ἔχουσιν. οὐδ᾽ ἡμεῖς οὖν αὐτοῖς πιστεύσομεν, ὡς ἂν μήτε δι᾽ ἐμπειρίας εἰληφότες τοῦ λόγου τὴν πίστιν μήτ᾽ ἐκ τῆς τοῦ πράγματος φύσεως ἐνδεικτικῶς.

εὔδηλον δ᾽ ὅτι καὶ τὴν λέξιν ἐκείνην, καθ᾽ ἣν καὶ ὅσαι ἄλλαι ἀπὸ ὑστερέων ὁ Ἱπποκράτης ἔγραψεν, ἐξηγοῦνται διττῶς, ἔνιοι μὲν ἐπὶ τὰς ἐν
17a.815 τῇ μήτρᾳ διαθέσεις ἀναφέροντες τὸν λόγον, ὡς οὐδὲν ἧττον ἅπα σῶν αὐτῶν τῆς προειρημένης τὰς καρηβαρίας τε καὶ τὰς κατὰ τὸ βρέγμα μάλιστα γινομένας ὀδύνας ἐχουσῶν, ἔνιοι δ᾽ ἐπὶ τὰς τῆς κεφαλῆς διαθέσεις ἀναφέροντες τὸν λόγον, ὡς εἰ καὶ οὕτως ἔγραψεν· «ὅσαις ἀπὸ φθορῆς καὶ οἰδημάτων ἐς καρηβαρίην τρέπεται, κατὰ τὸ βρέγμα εἰσὶν ὀδύναι, καὶ ἄλλαι δὲ τῆς κεφαλῆς διαθέσεις αἱ ἀπὸ ὑστερῶν γινόμεναι κατὰ τὸ βρέγμα μάλιστα διασημαίνουσιν.» ἄλλας δ᾽ οὖν διαθέσεις ἀκούσωμεν τὰς ἀναλόγους τῇ καρηβαρίᾳ, καλοῦσι δὲ τὰς μέν τινας αὐτῶν κεφαλαίας, τὰς δὲ ἡμικρανίας, τὰς δὲ κεφαλαλγίας ἁπλῶς.

Οἱ φοξοὶ οἱ μὲν κρατεραύχενες ἰσχυροὶ καὶ τἆλλα καὶ τοῖσιν ὀστέοισιν, οἳ δὲ κεφαλαλγέες καὶ ὠτόρρυτοι, τουτέοισιν ὑπερῷαι κοῖλαι καὶ ὀδόντες παρηλλαγμένοι.

17a.816 Κἀνταῦθα πάλιν οὐδὲν διαφέρει, πότερον κρατεραύχενες ἐν πέντε συλλαβαῖς ἢ κραταύχενες ἐν τέτταρσί τις γράψει. τοὺς γὰρ κρατεροὺς ἔχοντας τοὺς αὐχένας, ὅπερ ἐστὶν ἰσχυρούς, ἑκατέρα τῶν φωνῶν σημαίνει. τὸ μέντοι μακραύχενες, ὅπερ ἔνιοι γράφουσι τὴν παλαιὰν ὑπαλλάττοντες γραφήν, οὐ ταὐτὸν δηλοῖ. κρατερὸς μὲν γὰρ αὐχὴν ὁ ἰσχυρὸς ὀνομάζεται, διὰ σκληρότητα καὶ μέγεθος ὀστῶν τοιοῦτος γινόμενος τοὐπίπαν. οὕτως δ᾽ ἔχουσι καὶ οἱ περικείμενοι τοῖς ὀστοῖς μύες τε καὶ τένοντες καὶ σύνδεσμοι. μακροὶ δ᾽ αὐχένες οὐχ ὅπως ἐν ἀρετῆς μέρει γίνονται, ἀλλὰ καὶ μοχθηροὶ τοὐπίπαν εἰσί, παραπλησίως τῷ στενῷ καὶ μακρῷ θώρακι. καὶ γὰρ καὶ τοῦτον εὐρὺν εἶναι προσῆκον, οὐ πλατὺν μόνον ἢ μακρόν. εὐρὺς δ᾽ ἐν τῇ κατὰ βάθος τε καὶ πλάτος διαστάσει καὶ θώραξ καὶ αὐχὴν καὶ πᾶν ὁτιοῦν ἄλλο γίνεται μόριον, ὅταν ἀνὰ λόγον ἀλλήλοις αὐξηθῇ ταῦτα. πάντως δ᾽ ἐπ᾽ αὐτῶν ἐστι καὶ τὸ μῆκος ἤτοι μεῖζον ἢ ἴσον γε τοῖς συμμέτρως ἔχουσιν. ὁ μὲν οὖν θώραξ τῶν

17a.817 ἐντυγχανόντων ἡμῖν ἀνθρώπων οὐ φαίνεται, πρὶν γυμνωθῆναι τὸ σῶμα. τὴν δὲ κεφαλὴν εὐθέως ὁρῶμέν τε καὶ γνωρίζομεν, ὅτιπερ ἂν ἔχῃ κατά τε τὴν διάπλασιν καὶ τὸ μέγεθος σφάλμα· κατὰ μὲν τὸ μέγεθος, εἴτε σμικροτέρα τοῦ προσήκοντος ἢ μείζων γεγονυῖα, κατὰ δὲ τὴν διάπλασιν εἴτ᾽ ἀκριβῶς στρογγύλη τήν τε κατὰ μέτωπον ἐξοχὴν καὶ τὴν κατ᾽ ἰνίον ἀπολωλεκυῖα τελέως, ἢ φοξὴ προμηκεστέρας τοῦ δέοντος ἔχουσα τὰς ἐξοχάς, ἤτοι γ᾽ ἀμφοτέρας ἢ τὴν ἑτέραν, ἢ μίαν ἔχουσα μόνην, ἀπολωλεκυῖα δὲ τὴν ἑτέραν. ἐπὶ μὲν οὖν τῆς μείζονός τε καὶ φοξῆς ἐπισκέπτεσθαι προσήκει τό τε ποσὸν τῆς ὑπεροχῆς καὶ τὴν τοῦ αὐχένος φύσιν εἰς τὸ διαγνῶναι, πότερον ἄμεινον αὐτοῖς ἢ χεῖρον ἡ κεφαλὴ κατεσκεύασται. δέδεικται γὰρ ἐν τοῖς Ὑγιεινοῖς ὑπομνήμασιν οὐ μικρὰ χρεία γινομένη τοῖς ἰατροῖς ἐκ τῆς τοιαύτης γνώσεως εἰς φυλακὴν τῆς τοῦ μέρους ὑγείας καὶ τὴν ἐσομένην ἐπανόρθωσιν, εἰ φθάσειέ τις αὐτήν ποτε μαθεῖν. ἐπὶ δὲ τῆς ἐναργῶς μικρᾶς ἐγνωκέναι μὲν χρὴ τὴν μοχθηρότητα, προσεπισκέπτεσθαι δὲ ἐκ περιουσίας καὶ τὰ κατὰ τὸν
17a.818 τράχηλον, ἐπειδὴ στελέχει παραπλησίως ἡ ῥάχις ὡς ἐκ ῥιζώσεως πέφυκε τῆς κεφαλῆς. ἔμαθες γὰρ ἐξ ἐγκεφάλου τῷ νωτιαίῳ μυελῷ τήν τε τῆς γενέσεως ἀρχὴν εἶναι καὶ τὴν τῶν δυνάμεων χορηγίαν. περιέχουσι δὲ τοῦτον οἱ σπόνδυλοι λεπτὸν μὲν ὄντα μικροί, παχὺν δὲ γενόμενον εὑρεῖς. ὥσπερ οὖν ὁ μέγας μὲν θώραξ εὐρυχωρίαν μεγάλην ἔνδοθεν ἔχει, καθ᾽ ἣν ἄθλιπτα καὶ μεγάλα δύο σπλάγχνα περιέχεται, πνεύμων καὶ καρδία, ὁ δὲ σμικρὸς ἀνὰ λόγον αὐτῷ καὶ ταῦτ᾽ ἔχει σμικρά τε ἅμα καὶ στενοχωρούμενα, κατὰ τὸν αὐτὸν τρόπον ἡ κεφαλὴ καὶ ἡ ῥάχις ἀνὰ λόγον ἑαυταῖς ἔχουσιν ἐγκέφαλόν τε καὶ νωτιαῖον. ὅταν μὲν εἰς μέγεθος ἐπιδιδῶσιν, αὐτούς τε μεγάλους εὐρείας τε τὰς τοῦ πνεύματος χώρας ἐν αὐτοῖς ποιοῦσιν, οἱ δὲ σμικροὶ τἀναντία. φαίνεται δὲ καὶ τὰ τῆς διανοίας βεβλαμμένα τοῖς ἐναργῶς ἔχουσιν ἤτοι πάνυ μεγάλας ἢ πάνυ σμικρὰς τὰς κεφαλάς. ἀλλ᾽ αἱ μὲν σμικραὶ μοχθηραὶ διὰ παντός, αἱ δὲ μεγάλαι
17a.819 γένοιντ᾽ ἄν ποτε κἀγαθαὶ κατὰ τὸ σπάνιον ἐπὶ ῥώμῃ τε τῆς κατὰ ταῦτα δυνάμεως καὶ πλήθει τῆς ὕλης, ἐξ ἧς διεπλάσθησαν, ὅπερ ὑπάρξαι φασὶ καὶ Περικλεῖ τῷ Ἀθηναίῳ συνετωτάτῳ γενομένῳ. σκώπτεται γοῦν ὑπὸ τῶν κωμικῶν ἐπὶ μεγέθει κεφαλῆς. ἔτι δὲ μᾶλλον, ἐὰν καὶ τὸ κατὰ φύσιν σχῆμα φυλάττῃ καὶ τὸν αὐχένα κρατερὸν ἔχῃ καὶ τοὺς ὀφθαλμοὺς

δεδορκότας δριμύ, γνωστέον ἄριστα διακεῖσθαι τὴν τοιαύτην κεφαλήν. αἱ δὲ φοξαὶ — καὶ γὰρ καὶ τούτων ἔφην τινὰς οὐκ εἶναι μεμπτάς — γίνονται μὲν ὑπαλλαττομένης κατά τι τῆς ἀρίστης διαπλάσεως, ἥτις ἔοικε προμήκει σφαίρᾳ τεθλιμμένῃ καθ' ἑκάτερον οὖς· ἤτοι δὲ λείπουσαν ἔχουσι τὴν κατ' ἰνίον ἢ μέτωπον ἐξοχὴν ἢ περαιτέρω τοῦ προσήκοντος ηὐξημένην. ὡς τὸ πολὺ μὲν οὖν, ὥσπερ τὴν μεγάλην, οὕτω καὶ ταύτας εὑρήσεις μεμπτάς. ἐν δὲ τῷ σπανίῳ γίνονται καὶ τούτων τινὲς ἀγαθαί, τῆς διαπλαττούσης δυνάμεως τὴν ὕλην, ἐξ ἧς ἐγεννήθη κυούμενος ὁ ἄνθρωπος, ἰσχυρᾶς ὑπαρχούσης, ὡς μὴ νικηθῆναι τῷ πλήθει τοῦ ῥυέντος
17a.820 ἐπὶ τὸ χωρίον αἵματος, ἀλλ' ἐξαρκέσαι τε καὶ ἀντισχεῖν αὐτὸ καὶ διαπλάσαι καλῶς. ἐπεὶ τοίνυν ἤτοι διὰ τὴν ἔνδειαν ἑκατέρας τῶν ἐξοχῶν ἢ διὰ τὴν ἐπαύξησιν αἱ φοξαὶ γίνονται κεφαλαί, πρῶτον μέν σε χρὴ προσέχειν τὸν νοῦν, πότερον αὐξηθείσης ἢ μειωθείσης τῆς ἐξοχῆς ἡ φοξότης ἐγένετο. μεμπτὸν μὲν γὰρ ἀεὶ τὸ μειωθείσης, οὐ μεμπτὸν δ' ἀεὶ τὸ προσαυξηθείσης. ἀλλὰ συνεπισκέπτεσθαι χρὴ τηνικαῦτα πρῶτον μὲν τὴν εὐσχημοσύνην τῆς ἐπαυξήσεως· αἱ γὰρ ἀπρεπεῖς ἐπαυξήσεις εἰσὶ μοχθηραί· δεύτερον δέ, πότερον ἡ κατ' ἰνίον ἐξοχὴ τῆς κεφαλῆς αὐτῆς γέγονε μείζων ἢ τὸ πρόσω μέρος ηὔξηται, βέλτιον εἶναι νομίζοντα αὐξηθῆναι τὴν κατ' ἰνίον. ἐνταῦθα γὰρ ἥ τε κυριωτάτη τῶν κοιλιῶν ἐστι τοῦ ἐγκεφάλου καὶ ἡ τοῦ νωτιαίου μυελοῦ ῥίζωσις. εἶτα ἑξῆς σκόπει τὸν αὐχένα, πότερον ἀσθενὴς ἢ κρατερός ἐστιν. ἐὰν γὰρ ἥ τ' ἐξοχὴ μήτ' ἀσχήμων ᾖ μήθ' ὑπερβαλλόντως μεγάλη γενναῖός τε αὐτὴν ἐκδέχηται τράχηλος, ἀποδέχου τὴν φοξότητα τῆς τοιαύτης κεφαλῆς. ἰσχυροὺς γὰρ
17a.821 εὑρήσεις τούτους τά τε ἄλλα καὶ τοῖς ὀστοῖς. ἐπίσκεψαι δ' ἐνταῦθα, τίνα λέγει τὰ ἄλλα, πότερον τὰ κατὰ θώρακα καὶ ἧπαρ, ὡς εἶναι τὰς τρεῖς ἀρχὰς τοῖς τοιούτοις γενναίας, οὐ μόνον τὴν κατὰ τὸν ἐγκέφαλον, ἢ τἆλλα μόνα λέγει τὰ τὴν πρώτην ἀρχήν τε καὶ γένεσιν ἐκ τῆς κεφαλῆς ἔχοντα. ταῦτα δ' ἐστὶ νωτιαῖος καὶ νεῦρα καὶ σὺν αὐτοῖς ἡ τῶν ὀστῶν οὐσία καὶ ἡ τῶν μυῶν, ἅπερ ἐξ ἀνάγκης συναυξάνεται καὶ συγκρατύνεται τῇ κεφαλῇ. καὶ ταῦτα δὲ εὑρήσεις ὡς τὸ πολὺ συναυξανόμενα· τοῦ γὰρ αἵματος, ἐξ οὗ διεπλάσθησαν τὰ κατὰ τὴν κεφαλήν, ὄντος πολλοῦ τε καὶ εὐχρήστου, καὶ τὴν ζωτικὴν δύναμιν, ἣν ἐκ καρδίας ἐδείξαμεν ὁρμᾶσθαι, καὶ τὴν φυσικήν τε καὶ θρεπτικὴν ὀνομαζομένην, ἣν ἐξ ἥπατος ἔμαθες

ἐπιρρεῖν ταῖς φλεψίν, εὔλογον ὑπάρχειν εὐθὺς ἐξ ἀρχῆς ἰσχυράς. καὶ δὴ τῷ τοιούτῳ ζῴῳ τὰ οἷον θεμέλια τοῦ παντὸς σώματος ἀναγκαῖον εἶναι γενναῖα. τῆς δ' ἐναντίως ἐχούσης κεφαλῆς κατά τε τὸ μοχθηρὸν σχῆμα καὶ τὴν μικρότητα προσεπίσκεψαι τά γε καθ' ὑπερῴαν ἐν τῷ στόματι
17a.822 χωρία. καλεῖται δ' οὕτως τὸ μέρος ἐκεῖνο τῆς ὑψηλῆς χώρας αὐτοῦ, ὅσον ὑπὲρ τὰς ἐκ τῆς ῥινὸς εἰς αὐτὸ συντρήσεις ἐστὶ μετέωρον. εὑρήσεις γὰρ καὶ τοῦτο κοῖλον, ἐφ' ὧν ἡ φοξότης ὀξεῖά τε καὶ ἀσχήμων ἐγένετο. καὶ γὰρ οὖν καὶ καλοῦσιν οἱ ἄνθρωποι τούτους μάλιστα φοξούς. ἐπὶ πολλῶν δὲ καὶ οἱ ὀδόντες παρηλλαγμένοι φαίνονται, τουτέστιν οὐ κατ' εὐθὺ τοῖς ἄνωθεν οἱ κάτωθεν οὔθ' οἱ τομεῖς τοῖς τομεῦσιν οὔθ' οἱ κυνόδοντες τοῖς κυνόδουσιν οὔθ' αἱ μύλαι ταῖς μύλαις, ἀλλ' οἷον ἀνεσπασμένον τε ἅμα καὶ διεστραμμένον αὐτοῖς φαίνεται τὸ στόμα. τούτους οὖν εὑρήσεις κεφαλήν τε συνεχῶς ἀλγοῦντας καὶ ῥευματιζομένους τὰ ὦτα ποτὲ μὲν ἰχῶρι λεπτῷ καὶ ὑγρῷ, ποτὲ δὲ οἷον πυώδει τε καὶ δυσώδει, τῶν ἀσθενῶν μορίων εἰωθότων καὶ πολὺ καὶ μοχθηρὸν περίττωμα γεννᾶν. ὁπότ' οὖν σαφὴς ἐγένετο ἡ ῥῆσις, μικρόν τι προσθεὶς ἐπ' ἄλλην μεταβήσομαι. τὸ δὲ μικρὸν τοῦτ' ἐστὶν ἀνάμνησις ἑνὸς τῶν εἰρημένων μοι κατὰ τὴν ἀρχὴν τοῦδε τοῦ λόγου. φαίνεται γὰρ ἤδη σαφῶς ὑπομνήματι μᾶλλον ἢ
17a.823 συγγράμματι τὸ προκείμενον ἐοικέναι βιβλίον, ἑαυτῷ τινα γράφοντος εἰς ἀνάμνησιν τοῦ Ἱπποκράτους, ὡς ἕκαστον ἔτυχεν ἤτοι θεασάμενος ἢ διὰ λογικῆς σκέψεως ἐξευρών. οὐδὲν γὰρ οὐδ' ἐγγὺς ὅμοιόν ἐστι τῇ πρώτῃ ῥήσει πρὸς τὴν δευτέραν, καθάπερ οὐδὲ τῇ τρίτῃ πάλιν πρὸς ταύτας.

Ὅσοισιν ὀστέον ἀπὸ ὑπερῴης ἀπῆλθε, τούτοισι μέση ἵζει ἡ ῥίς. ὅσοισι δέ, ὅθεν οἱ ὀδόντες, ἄκρη σιμοῦται.

Τὸ διαφράττον ὀστοῦν τοὺς δύο πόρους τῆς ῥινὸς ἐστήρικται κατ' ἄλλου τινὸς ὀστοῦ λεπτοῦ τὴν μὲν ἀρχὴν ἔχοντος ἄνωθεν ἐκ τοῦ μεσοφρύου, τελευτῶντος δ' ἐπὶ τὸ πέρας τῆς ῥινός, ἔνθα τὰ πτερύγια. κατὰ τοῦτο μὲν οὖν τὸ μέρος ἐπίκειται τὸ διάφραγμα τῆς ῥινὸς ἐκείνοις τοῖς χωρίοις, εἰς
17a.824 ἃ τὰ πέρατα τῶν τομέων ὀδόντων ἀνήκει. τὸ δ' ἀνωτέρω τούτων ὑπερῷα μὲν ὀνομάζεται, στηρίζεται δ' ἐπ' αὐτῆς τὸ μέσον τοῦ διαφράγματος τῆς ῥινός. ἔνθα ἂν οὖν ἀπόληταί τι τῶν στηριζόντων ὀστῶν, καταπῖπτον

ἐνταῦθα τὸ διάφραγμα κοίλην ἐργάζεται κατ᾽ ἐκεῖνο τὸ μέρος τὴν ῥῖνα, καὶ καλεῖται ταύτης τὸ σύμπτωμα σιμότης.

Αἱ τῶν νηπίων ἐκλάμψιες ἅμα ἥβῃ ἔστιν οἷσι μεταβολὰς ἴσχουσι καὶ ἄλλας καὶ ἐς νεφρὸν ὀδύνη βαρεῖα, ὅταν πληρῶνται σίτου.

Ταύτην τὴν γραφὴν ἁπάντων μὲν τῶν ἐξηγητῶν εἰδότων, ἁπάντων δὲ τῶν παλαιῶν ἀντιγράφων ἐχόντων, ἔνιοι τῶν νεωτέρων μεταγράφειν ἐπεχείρησαν ἄλλος ἄλλως, οἱ μὲν «ἐπιλήψιες» γράφοντες, οἱ δὲ «καταλήψιες». ἡ δ᾽ ἐξήγησις αὐτῶν ἐπιληψίαν αὐτῷ βούλεται
17a.825 δηλοῦσθαι, παυομένην ὡς τὰ πολλὰ τοῖς ἐκ νηπίων ἔχουσιν αὐτὴν ἐν τῇ τῆς παιδικῆς ἡλικίας εἰς τὴν ἡβικὴν μεταβολῇ. καὶ γὰρ φαίνεται γινόμενον οὕτως, ἐὰν μή τις ἐν τῷ χρόνῳ τούτῳ πλημμελῶς διαιτώμενος αἴτιος αὐτῷ γένηται τοῦ διαμεῖναι τὸ νόσημα. γίνεται μὲν οὖν ὡς τὸ πολὺ διὰ ψυχρὰν ἐγκεφάλου κρᾶσιν, συνεζευγμένης ὑγρότητος αὐτῇ τὰ πολλά — σπάνιοι γὰρ ἐπιληψίαι αἱ ἐκ μορίου τινὸς ὁρμώμεναι —, θεραπεύεται δ᾽, ὅταν ἡβάσκωσιν, ἐὰν καὶ τἆλλα τις ὡς προσήκει πράττῃ, διὰ τὴν ἐπὶ τὸ ξηρότερόν τε καὶ θερμότερον μεταβολὴν τῆς κράσεως ὅλου τοῦ σώματος. ὅπως γὰρ ὁ ἀκμάζων θερμότερός ἐστι τοῦ παιδός, ἔμαθες ἐν τοῖς Περὶ κράσεων, ἔνθα καὶ ὅπως ὁ παῖς τοῦ ἀκμάζοντός ἐστι θερμότερος· ὁ μὲν ἀκμάζων ἁπλῶς θερμότερος, ὁ δὲ παῖς οὐχ ἁπλῶς, ἀλλ᾽ ὅτι πλέον ἔχει τὸ ἔμφυτον θερμόν. ἐκλάμψεις οὖν τοῦ θερμοῦ βούλονται λέγειν αὐτὸν οἱ καλέσαντες ἑαυτοὺς Ἱπποκρατείους ἐκ μεταφορᾶς ἀπὸ τῆς ἐκτὸς φλογός, ἥτις, ὅταν ἐπικρατήσῃ τῆς ὕλης, ὥστε αὐτὴν ἑαυτῇ συνεξομοιῶσαι πᾶσαν, ἐξέλαμψέ τε καὶ φανερὰ πᾶσιν
17a.826 ἐγένετο, κατακεκρυμμένη πρόσθεν, ἡνίκα τὴν ὕλην ὑγρὰν οὖσαν ἐξήραινεν. ὁ δέ γε Ζεῦξις, ὡσαύτως δ᾽ αὐτῷ καὶ τῶν Ἐμπειρικῶν τινες, οὐχ οὕτως ἀκούουσι τὴν ἔκλαμψιν, ἀλλ᾽ ἑτέρῳ τινὶ τρόπῳ· μαθήσῃ δὲ τῆς τοῦ Ζεύξιδος ῥήσεως παραγραφείσης ὧδε· «νήπια λέγει ὁ Ἱπποκράτης τὰ μέχρι ἥβης, ταῦτα δὲ κατὰ τὸν τοῦ ἡβάσκειν χρόνον ἐκλάμπειν, ἐμφατικῶς ἄγαν τῇ μεταφορᾷ χρησάμενος· καὶ γὰρ σαρκοῦται τὰ τηνικαῦτα μᾶλλον καὶ εὐερνέστερα γίνεται καὶ τῷ χρώματι καὶ τῷ εἴδει χαριέστερα καὶ τῇ δυνάμει καὶ τῷ λογισμῷ βελτίονα. ἀθρόως δὲ γίνεται τοιαῦτα, ὥστε καὶ τῶν εὐειδῶν φύσει τότε μᾶλλον ἐκλάμπει τὸ κάλλος.»

ὁ δ’ αὐτὸς οὗτος Ζεῦξις «νήπια, φησίν, εἴρηται πάντα τὰ παιδία, καθότι καὶ Ἡρόφιλος ὠνόμασεν αὐτὰ οὕτως. καὶ γὰρ περὶ τούτου γράφει τόνδε τὸν τρόπον διὰ ταύτης τῆς λέξεως· “φαίνεται νήπια λέγων ὁ Ἱπποκράτης τὰ ἕως ἥβης καὶ οὐχὶ τὰ νεογνὰ μέχρι τῶν πέντε ἢ ἓξ ἐτῶν, ὡς νῦν οἱ πλεῖστοι λέγουσιν”. ἤρκει δὲ καὶ ὁ Ἡρόφιλος τὰ τηλικαῦτα λέγων νήπια,
17a.827 δι’ ὧν φησι· “τοῖς νηπίοις οὐ γίνεται σπέρμα, γάλα, καταμήνια, κύημα, φαλακρότης.” οὐ γὰρ τοῖς μέχρι τῆς προειρημένης ἡλικίας παραγινομένοις λέγει μὴ γίνεσθαι ταῦτα, τουτέστιν ἀπὸ τῆς πρώτης εὐθέως γενέσεως, ὅπερ τινὲς δεχόμενοι καταγελῶσιν αὐτοῦ, ὡς τὰ πᾶσι γινωσκόμενα διδάσκοντος, ὧν ἐστι καὶ ὁ Καλλίμαχος, ἀλλὰ τοῖς μέχρις ἥβης, ἐπειδή τινες ὑπέλαβον καὶ ἐν τούτοις ταῦτα γίνεσθαι.» ταῦτα μέν σοι καὶ τὰ τοῦ Ζεύξιδος· ἐμοὶ δ’ ὅπως εἰρῆσθαι δοκεῖ τὰ νήπια, καὶ πρόσθεν μὲν εἶπον, ἀναλήψομαι δὲ καὶ νῦν ἔτι σαφέστερον τὸν λόγον. τὸ τῆς ἐπιληψίας πάθος ἤτοι κατὰ φυσικὴν γίνεται δυσκρασίαν, ὅταν ὑγρὸς ὁ ἐγκέφαλος ἱκανῶς ᾖ, καὶ τηνικαῦτά γε καὶ παίδειον ὀνομάζεται τὸ νόσημα, καθάπερ αὐτὸς ἐδήλωσεν ἐν τῷ Περὶ ὑδάτων καὶ ἀέρων καὶ τόπων ὧδέ πως γράψας· «τοῖς παιδίοις συμπίπτειν σπασμούς τε καὶ ἄσθματα, ἃ νομίζουσι τὸ παίδειον ποιέειν καὶ ἱερὴν νοῦσον εἶναι.» κατὰ ταύτην τὴν ῥῆσιν εὔδηλον ὅτι προσυπακοῦσαι δεῖ τῷ «παίδειον» τὸ «πάθος», ὡς καὶ ἱερὴν νοῦσον εἶναι. γίνεται δὲ καὶ διὰ διαίτης
17a.828 ἁμαρτήματα τοῖς παιδίοις ταὐτὸ τοῦτο πάθος, ἰατρικῆς θεραπείας δεόμενον. ὅταν δὲ δι’ ὑγρότητα γίνηται, νηπίοις οὖσιν εὐθὺς ἄρχεται καὶ παύεται, μηδὲν ἡμῶν πραγματευομένων, ἐν τῇ τῆς ἡλικίας μεταβολῇ, ὥσθ’, οἷς ἂν ἄρξηται παιδίοις μὴ κατὰ τὴν πρώτην εὐθὺς ἡλικίαν ἔτι βρέφεσιν οὖσιν, ἀλλ’ ἐν τῷ προϊέναι, δῆλόν ἐστιν ἐξ ἁμαρτημάτων τούτοις τῶν κατὰ τὴν δίαιταν ἤ τινος ἔξωθεν αἰτίας ἑτέρας ἐσχηκὸς τὴν γένεσιν, ἐφ’ ὧν οὐ χρὴ τὴν μεταβολὴν τῆς ἡλικίας ἀναμένειν, ἀλλὰ τὴν γεγονυῖαν διάθεσιν ἐν αὐτοῖς νοσώδη θεραπεύειν. ἐκεῖνό γε μὴν ἄξιον οὐ μικρᾶς ζητήσεώς ἐστιν, ἐὰν κατὰ τὴν παλαιὰν γραφὴν ἐκλάμψιας ἀκούσωμεν, ὡς οἱ Ἱπποκράτειοι καὶ ὁ Ζεῦξις ἤκουσαν. ὁ γὰρ λόγος ἐστὶ τοιοῦτος· «αἱ τῶν νηπίων, ὅταν ἡβάσκωσιν, ἐκλάμψεις τοῦ θερμοῦ καὶ ἄλλας μέν τινας ἐν αὐτοῖς ἴσχουσι μεταβολὰς καὶ μέντοι καὶ τὴν τῶν νεφρῶν πεῖσιν,» ἣν αὐτὸς ἐφεξῆς διηγεῖται. παραλειφθήσεται γὰρ ἐν τῷ

17a.829 τοιούτῳ λόγῳ τὸ τῆς ἐπιληψίας ὄνομα καὶ κατὰ τοῦτο φαίνονταί τινες οὐκ ἀλόγως «ἐπιλήψεις» γράψαντες, ὥσπερ ἔνιοι «καταλήψεις». ἐχρῆν δ' αὐτοὺς ὡς οὐχ εὑρόντας οὕτω γεγραμμένον, ἀλλ' ὡς ἄμεινον οὕτως γράφειν εἰπόντας ἐπὶ τὴν εἰρημένην ἐξήγησιν ἀφικνεῖσθαι. προκειμένου δὲ τοῦ καὶ συνδέσμου τοῦτον πάλιν ἀφαιροῦσιν ἔνιοι, δύο βουλόμενοι λόγους εἶναι κατ' οὐδὲν ἀλλήλοις κοινωνοῦντας, ἕνα μὲν ἐκ τῆσδε τῆς ῥήσεως αὐτάρκως δηλούμενον· «αἱ τῶν νηπίων ἐκλάμψιες ἅμα ἥβῃ ἔστιν οἷς μεταβολὰς ἴσχουσι καὶ ἄλλας», ἕτερον δὲ τοιόνδε· «ἐς νεφρὸν ὀδύνη βαρεῖα, ὅταν πληρῶνται σίτου» καὶ τὰ τούτοις συνεχῆ περὶ νεφρίτιδος αὐτοῦ διδάσκοντος ἀφ' ἑτέρας ἀρχῆς, οὐχ ὡς τοῖς παιδίοις, ὅταν ἡβάσκῃ, εἰς τοῦτο τὸ νόσημα τῆς ἐπιληψίας μεθισταμένης. οὐ γὰρ φαίνεται κατὰ τὴν ἡλικίαν ταύτην νεφρῖτις γινομένη, καθάπερ ὁ κατὰ τὴν κύστιν λίθος· οὗτος μὲν γὰρ παιδίοις μᾶλλον, νεφρῖτις δὲ τοῖς παρακμάζουσι γίνεται. παραγράψωμεν οὖν ἐφεξῆς τὰ περὶ νεφρίτιδος οὕτω λεγόμενα·

17a.830 Ἐς νεφρὸν ὀδύνη βαρεῖα, ὅταν πληρῶνται σίτου, ἐμέουσί τε φλέγμα. ὅταν δὲ πλεονάζωσιν αἱ ὀδύναι, ἰώδεα, καὶ ῥᾴους μὲν γίνονται, λύονται δὲ ὅταν σίτων κενωθῶσιν, ψαμμία τε πυρρὰ ὑφίσταται, αἱματῶδές τε οὐρέουσι· νάρκη μηροῦ τοῦ κατ' ἴξιν. ἐλινύειν οὐ ξυμφέρει, ἀλλὰ γυμνάσια, μὴ ἐμπίπλασθαι, τοὺς νέους ἐλλεβορίζειν, ἰγνύην τάμνειν, οὐρητικοῖσι καθαίρειν, λεπτῦναι καὶ ἀπαλῦναι.

Ὀδύνην βαρεῖαν ἤτοι τὴν ὡς βαρέος τινὸς ἐγκειμένου κατὰ τὸ χωρίον αἴσθησιν φέρουσαν ἢ τὴν χαλεπὴν ἀκούειν οἷόν τ' ἐστίν. ἀληθὲς γὰρ ἑκάτερόν ἐστι, κατὰ διαφέροντας χρόνους ἐν τοῖς νεφροῖς γινόμενον, ἐπειδὴ σφοδρότατα μὲν ὀδυνῶνται κατά τε τὰς γενέσεις καὶ διεξόδους τῶν λίθων, ἐν δὲ τῷ λοιπῷ χρόνῳ τὰς ὀδύνας ὡς βαρέος τινὸς
17a.831 ἐγκειμένου κατὰ τὸν τόπον ἔχουσιν. ὅσοι μὲν οὖν ἡγοῦνται κατὰ τὴν κοιλίαν τῶν νεφρῶν συνίστασθαι τοὺς λίθους, ἐν τῇ διεξόδῳ μόνῃ τῇ κατὰ τοὺς οὐρητῆρας ὀδυνᾶσθαί φασι τοὺς πάσχοντας. ὅσοι δὲ ἐν αὐτῇ τῇ σαρκὶ τῶν νεφρῶν, οὐκ ἐν μόναις ταῖς διεξόδοις, ἀλλὰ καὶ καθ' ὃν γίνονται χρόνον ἐνταῦθα καὶ καθ' ὃν εἰς τὴν κοιλίαν τῶν νεφρῶν διεξέρχονται. τοῦ δ' ἐν ταῖς σαρξὶν αὐτῶν συνίστασθαι τοὺς λίθους ἀνὰ λόγον τοῖς ἐπὶ τῶν ἀρθριτικῶν πώροις ἐπάγονται μάρτυρα τὴν ἐκ τοῦ

Περὶ φύσεως ἀνθρώπου καὶ διαίτης λέξιν ἔχουσαν οὕτως· «ὁκόσοισι ψαμμοειδὲς ὑφίσταται ἢ πῶροι ἐν τοῖσιν οὔροισι τούτοισι τὴν ἀρχὴν φύματα ἐγένετο πρὸς τῇ φλεβὶ τῇ παχείῃ καὶ διεπύησεν, ἔπειτα δὲ αὐτέων οὐ ταχέως ῥαγέντων τῶν φυμάτων πῶροι συνεστάθησαν ἐκ τοῦ πύου, οἵτινες ἔξω θλίβονται διὰ τῶν φλεβῶν σὺν τῷ οὔρῳ εἰς τὴν κύστιν.» αὕτη μὲν οὖν ἡ Ἱπποκράτειός ἐστι ῥῆσις. οὐκ ἀδύνατον δὲ ἑκατέρως γίνεσθαι τοὺς ἐν τοῖς νεφροῖς λίθους κατά τε τὸν ἀρτίως εἰρημένον τρόπον καὶ τὸν ὀλίγον ἔμπροσθεν, καθ’ ὃν ἐν ταῖς κοιλίαις
17a.832 αὐτῶν ἔφαμεν ἐξοπτώμενον ἐν τῷ χρόνῳ καὶ ξηραινόμενον παχὺν καὶ γλίσχρον χυμὸν εἰς πωρώδη σύστασιν ἀφικνεῖσθαι. κατὰ δὲ τὸν αὐτὸν χρόνον, ἐάν τ’ ἔμφραξις ᾖ κατ’ αὐτοὺς ἐάν τε μετρία φλεγμονή, βάρους μᾶλλον, οὐκ ὀδύνης αἴσθησις γίνεται, καθάπερ κἀν τῷ ἥπατι διὰ τὸ βραχυτάτων νεύρων, ὥσπερ τοὺς νεφρούς, οὕτω καὶ τὸ ἧπαρ μετέχειν. τὰς δ’ ὀδύνας ἐν τοῖς νεφροῖς μάλιστα γίνεσθαί φησι, καθ’ ὃν χρόνον πληροῦνται σίτου. δύο δὲ σημαινούσης τῆς σῖτος φωνῆς παρ’ αὐτῷ, καθ’ ἑκάτερον τῶν σημαινομένων ἀληθὴς ὁ λόγος ἐστίν, ἐάν τε ἐπὶ τῶν ἐσθιομένων ἀκούηται σιτίων, ἐξ ὧν αἵματος ἀθροίζεται πλῆθος, ἐάν τ’ ἐπὶ τῶν ἐν τοῖς ἐντέροις περιττωμάτων τῆς τροφῆς. ὀνομάζει γάρ ποτε καὶ ταῦτα σῖτον, ὡς ἐν τοῖς Περὶ διαίτης ὀξέων· «οἷσι γάρ», φησίν, «ἐγκατακέκλεισται σῖτος, εἰ μή τις ὑποκενώσας τὴν γαστέρα τὸ ῥόφημα δοίη,» βλάψει μεγάλως. ἡ μὲν οὖν διὰ τὸν οὕτω λεγόμενον σῖτον ὀδύνη γινομένη κατὰ τοὺς νεφροὺς ἐπὶ τῷ θλίβεσθαί τε καὶ βαρύνεσθαι πρὸς
17a.833 τοῦ πλήθους τε καὶ βάρους τῶν περιττωμάτων εὐθέως ἅμα τῷ διαχωρῆσαι κάτω ταῦτα καθίσταταί τε καὶ παύεται τελέως. ἡ δ’ ἐκ τοῦ κατὰ τὰς φλέβας ἀθροισθέντος πλήθους, ὅταν εἰς τοὺς νεφροὺς κατασκήψῃ, κἂν φλεβοτομηθῶσιν, οὐκ εὐθέως λύεται διά τε τὸ πυκνὸν τῆς τῶν νεφρῶν οὐσίας καὶ ὅτι διὰ πολλῶν αὐτοῖς ἐπικειμένων σωμάτων ἡ τῶν ἔξωθεν ἐπιτιθεμένων βοηθημάτων μὴ πρὸς αὐτοὺς ἀφικνουμένη δύναμις ἐκλύεται. λύει δὲ αὐτοῖς τὰς ὀδύνας οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἡ διὰ τῆς ἄνω γαστρὸς ἔκκρισις, ἢ γίνεται κοινόν τι σύμπτωμα τοῖς κῶλον πάσχουσι καὶ νεφρούς. καὶ γάρ τοι καὶ συνεχῶς οἱ νεφροὶ τῷ κώλῳ καὶ τὸ κῶλον τοῖς νεφροῖς συνάπτονται διὰ τοῦ περιτοναίου. κατ’ ἀρχὰς μὲν οὖν οἱ ἔμετοι φλεγματώδεις γίνονται.

τοιοῦτος γὰρ ἐν τῇ γαστρὶ γεννᾶται χυμὸς ὡς τὸ πολὺ διὰ πλῆθος σίτων, καὶ μᾶλλον ἐὰν παχέα ταῦτα καὶ φύσει φλεγματωδέστερα τύχῃ· ἐὰν δὲ αὐξάνηταί τε καὶ παραμένῃ τὰ πάθη, προσγίνεται τοῖς οὕτω πάσχουσιν
17a.834 ἰώδης ἔμετος ἐπί τε ταῖς ὀδύναις καὶ ταῖς ἀγρυπνίαις διαφθειρομένου τοῦ αἵματος, καὶ μάλισθ' ὅταν ἅμα τούτοις πυρέξωσι καὶ ἀσιτήσωσιν. καὶ ῥᾴους μέν, φησίν, ἐπὶ τοῖς ἐμέτοις γίνονται, παύονται δὲ τῶν παροξυσμῶν, οὐ μέντοι τῆς γε διαθέσεως, ὅταν σίτων κενωθῶσιν. ἑκατέρως δὲ καὶ νῦν ἔνεστι δέξασθαι τὸ τῶν σίτων ὄνομα καὶ μᾶλλον ἐπὶ τῶν κατὰ τὴν γαστέρα καὶ τὰ ἔντερα. ψαμμία δὲ πυρρά, φησίν, ὑφίσταται δηλονότι τοῖς οὔροις. καὶ γὰρ καὶ φαίνεται τοῦτο γινόμενον, ἐὰν τὸ πυρρὸν ἀκούσῃς τοιοῦτον εἶναι τὴν χρόαν, ὁποία καὶ ἡ σανδαράχη καλουμένη· διὸ καί τινες μὲν τῶν ὁμιλησάντων ἐπιμελῶς τοῖς ἔργοις τῆς τέχνης ὀροβοειδεῖς ὑποστάσεις γίνεσθαί φασιν αὐτοῖς, ἔνιοι δὲ σανδαραχώδεις, ἔστι δ' ὅτε καὶ ὄντως πυρράς. αἱ μὲν οὖν πρότεραι δύο καὶ τοῖς ἡπατικοῖς συνεδρεύουσι πάθεσιν, ἡ τρίτη δὲ τοῖς κατὰ τοὺς νεφρούς, ὥσπερ κἀπειδὰν οἵαιπερ αἱ ψάμμοι κατὰ τὴν χρόαν ὑποστάσεις γίνωνται. ἀλλήλων μὲν γὰρ διαφέρει τὰ χρώματα τῶν ὑφισταμένων τοῖς οὔροις τῷ μᾶλλον καὶ ἧττον. γίνονται δ' ἐξ ὕλης παχείας μὲν καὶ
17a.835 γλίσχρας πάντως, ἤτοι δὲ τὸ παχὺ πλέον ἢ τὸ γλίσχρον ἐχούσης ἢ καὶ ἑκάτερον αὐτῶν ἰσάζον πάντως ἀλλήλοις. ἐὰν μὲν οὖν ἐκ φλέγματος γλίσχρου μόνου καὶ παχέος ἡ σύστασις γένηται, τεφρώδης ἐστὶ χρόα, παραπλησία τῇ τοῖς ἄλλοις ὑπαρχούσῃ πώροις, ὅσοι κατά τε τὰ θερμὰ φύσει τῶν ὑδάτων ἐν πολλοῖς χωρίοις ὁρῶνται τοῖς λίθοις ἐπιτρεφόμενοι καὶ ἄλλως ἐν ἀγγείοις, ἔνθα θερμαίνεται τὸ ὕδωρ. γένοιτο δ' ἄν ποτε κἀκ τῆς πυώδους ὑγρότητος ἢ μικτῆς ἐκ πυώδους καὶ φλεγματώδους ἐν σώματι ζῴου τοιοῦτος πῶρος, ὥσπερ καὶ τοῖς ἀρθριτικοῖς. ὁ γὰρ αὐτὸς τρόπος τῆς γενέσεως πάντως ἐστὶ τούτοις καὶ τοῖς ἐν νεφροῖς συνισταμένοις λίθοις. ἐὰν μέντοι μιχθῇ τισιν ὀλίγον αἵματος φλέγματι παχεῖ τε καὶ γλίσχρῳ, κατὰ τὴν ἐπικράτειαν ἡ χρόα γίνεται τῶν ὑφισταμένων τοῖς οὔροις ἐνίοτε μὲν οἷον ὠχρόλευκος ἢ ἐρυθρόλευκος ἢ ξανθόλευκος, ἔστι δ' ὅτε καὶ πυρρά, συντελοῦντος εἰς τὰς τῶν χρωμάτων διαφορὰς καὶ αὐτοῦ τοῦ κατὰ τὸ αἷμα χρώματος. οὐ γὰρ ἀκριβῶς ἐρυθρόν ἐστιν ἀεὶ τοῖς ἀνθρώποις, ἀλλ' ἐνίοτε μὲν ἐπὶ τὸ

17a.836 μελάντερον, ἐνίοτε δ’ ἐπὶ τὸ ξανθότερόν τε καὶ πυρρότερον ῥέπον. ἢ τοίνυν ἁπάσας ἃς εἶπον ἄρτι διαφορὰς τῶν χρωμάτων πλὴν τῆς τεφρώδους ἡγητέον ὑπὸ τῆς πυρρὰ δηλοῦσθαι φωνῆς, εἰπόντος αὐτοῦ ψαμμία πυρρὰ ὑφίστασθαι, ἢ τὸ προσκείμενον τὸ αἱματῶδες ἀπὸ κοινοῦ δεκτέον εἰρῆσθαι. λέγω δὴ τό ποτε. ὥσπερ γὰρ αἱματῶδες αὐτοῖς φαίνεταί ποτε γινόμενον τὸ οὖρον, οὔτε διὰ παντὸς οὔτ’ ἐπὶ πάντων τῶν νεφριτικῶν ὑπάρχον τοιοῦτον, παραπλησίως καὶ ψαμμία ποτὲ φαίνεται πυρρὰ τοῖς οὔροις ὑφιστάμενα. δέδεικται μὲν γὰρ ἐν τοῖς Τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ἕλκων εἰς ἑαυτὸν ὁ νεφρὸς, ὅσον ἐν ταῖς φλεψὶν ὀρρῶδές τε καὶ λεπτὸν ἀναμέμικται τῷ αἵματι. τῶν δὲ εἰς τὴν κοιλίαν αὐτοῦ διηθούντων τὸ τοιοῦτον πόρων ἐπὶ πλέον ἀναστομωθέντων, συνδιηθεῖταί τι καὶ τῶν παχυτέρων. ὅταν οὖν τοῦτο θερμαινόμενον ἐν τῇ κοιλίᾳ τοῦ νεφροῦ πωροειδῆ λάβῃ σύστασιν, ἐὰν μὲν ἡ τῶν νεφρῶν ἀποκριτικὴ δύναμις διώσηται πᾶν αὐτὸ σὺν τοῖς οὔροις, αἱ ψαμμώδεις ἐν αὐτοῖς ὑποστάσεις γίνονται. ἐὰν δὲ ἐμπεπλασμένον τε καὶ δυσαπόλυτον ᾖ
17a.837 τῇ κοιλίᾳ τοῦ νεφροῦ, δεχόμενον ἑαυτῷ τι παραπλήσιον ἕτερον ἐκ τῆς κοίλης φλεβὸς ἐπὶ πλέον αὐξάνεται. περιπλάττεται γὰρ ἀεὶ τὸ ἐπιρρέον τῷ προϋπάρχοντι, καὶ οὕτως ὁ πῶρος ἀξιόλογος τῷ μεγέθει συνίσταται. ἐὰν δὲ ἀραιωθῇ μὲν ἡ εἰς τὸν νεφρὸν ἐκ τῆς κοίλης φλεβὸς εἴσοδος, ὑγρὸν δ’ ᾖ τὸ αἷμα καὶ μήτε πολὺ μήτε γλίσχρον, αἱματῶδες οὕτω τὸ οὖρον γίνεται. τὴν δ’ εἰς τὸ σκέλος διήκουσαν ὀδύνην ναρκώδη διὰ τὴν τῶν ἐπικειμένων ἀγγείων τῇ ῥάχει τῆς κοίλης φλεβὸς καὶ τῆς μεγάλης ἀρτηρίας πρός τε τοὺς νεφροὺς καὶ τὰ σκέλη κοινωνίαν ἡγητέον γίνεσθαι. μέγισται γὰρ ἐπ’ αὐτοὺς τοὺς νεφροὺς ἀποπεφύκασιν ἀποφύσεις, μεθ’ ἃς οὐ μεγάλαι τινὲς εἰς ὀσφύν, κἄπειθ’ ἑκάτερον τῶν ἀγγείων διχῇ σχισθὲν εἰς ἑκάτερον ἀφικνεῖται τῶν σκελῶν, εἰς ὅλον αὐτὸ διανεμόμενον. ὅσοι δὲ διὰ τῶν οὐρητήρων ἤ τινων ὑμένων ἢ νεύρων ἢ καὶ τοῦ περιτοναίου λέγουσι κοινωνίαν εἶναι τοῖς νεφροῖς πρὸς
17a.838 τὰ σκέλη, παντάπασιν ἀπείρως ἔχουσιν ἀνατομῆς.

τὰ μὲν οὖν συμβαίνοντα τοῖς νεφριτικοῖς ἄχρι δεῦρο τοῦ λόγου διῆλθεν ὁ Ἱπποκράτης. ἐφεξῆς δὲ περὶ τῆς ἰάσεως αὐτῶν γράφει κατὰ τὴν ἐχομένην ῥῆσιν· ἐλινύειν οὐ συμφέρει, ἀλλὰ γυμνάσια, μὴ ἐμπίπλασθαι, τοὺς νέους ἐλλεβορίζειν, ἰγνύην τάμνειν, οὐρητικοῖσι καθαίρειν, λεπτῦναι καὶ

ἀπαλῦναι. ὑποτύπωσιν ἑαυτῷ διὰ κεφαλαίων ἐν τῇδε τῇ ῥήσει πεποίηται τῆς τῶν νεφρῶν ἰάσεως, τὰ μὲν κοινὰ πάσης ἡλικίας τε καὶ σώματος ἕξεως γράψας, τὰ δὲ ἴδια νέων τε καὶ ἰσχυρῶν. ἔστι δὲ κοινὰ τὰ μὲν πρῶτα γεγραμμένα, τό τ' ἐλινύειν, ὅπερ ἡσυχίαν ἄγειν δηλοῖ καί φησιν αὐτοῖς ἀσύμφορον εἶναι, καὶ τὰ γυμνάσια. ταῦτα γὰρ ἡγεῖται συμφέρειν, ὡς ἂν δηλονότι καὶ τὸ πλῆθος κενοῦντα καὶ τὸ φλεγματῶδές τε καὶ παχὺ καὶ ἄπεπτον ἅπαν εἰς πέψιν τε ἄγοντα καὶ λεπτύνοντα καὶ ῥωννύντα τὰ μόρια τοῦ σώματος ἅπαντα. νοῆσαι δέ σε χρὴ νῦν αὐτὸν λέγειν οὐ
17a.839 πάντως τὰ μεγάλα γυμνάσια, ὡς ἱππασίας ἢ ὁπλομαχίας ἢ τὸ παλαίειν ἢ παγκρατιάζειν ἢ σκάπτειν ἤ τι τοιοῦτον πράττειν ἕτερον, ἀλλ' ἅπασαν ἁπλῶς κίνησιν, ἥτις ἂν ᾖ ἱκανὴ διαπονῆσαι τὸ σῶμα κατὰ ἀναλογίαν τῆς θ' ἡλικίας καὶ τῆς ἕξεως καὶ τῆς ῥώμης τοῦ νεφριτικοῦ. ἀλλὰ καὶ τὸ μὴ ἐμπίπλασθαι κοινὸν ἁπάσης ἡλικίας καὶ σώματος ἕξεώς ἐστι παράγγελμα. τὰ δ' ἐφεξῆς τοῦδε τοῖς νέοις, ὡς αὐτὸς εἶπεν, ἁρμόττοντα γράφει λέγων ὧδε· τοὺς νέους ἐλλεβορίζειν, ἰγνύην τάμνειν, ἐλλεβορίζειν μέν, ἐὰν πάνυ χρόνιον ᾖ τὸ πάθος καὶ ὡς ἂν εἴποι τις μοχλείας δεόμενον — εἰς ταῦτα γὰρ ἐλλεβόρῳ χρώμεθα —, φλεβοτομίαν δὲ ἐπὶ τῶν αἷμα πλέον ἢ παχὺ κατὰ τὰς φλέβας ἠθροικότων. εἰ δὲ ἀμφοῖν αὐτὸς ἄνθρωπος δέοιτο τῶν βοηθημάτων, εὔδηλόν ἐστιν ὡς ἀπὸ φλεβοτομίας ἀρκτέον ἐστίν. ἔμαθες δ', ὅτι τὰ μὲν ἄνω τοῦ ἥπατος μόρια τῆς ἀπ' ἀγκῶνος δεῖται φλεβοτομίας, τὰ δὲ κάτω τῆς ἀπὸ τῶν σκελῶν, ἐν ταῖς ἰγνύαις τεμνόντων ἡμῶν τὰς φλέβας ἢ πάντως γε παρὰ τὰ σφυρά. τὸ δ' ἐφεξῆς
17a.840 εἰρημένον οὐρητικοῖσι καθαίρειν ἐπὶ πάντων ἐστὶ χρήσιμον, οὐχ ἁπλῶς δὲ εἶπεν οὐρητικοῖς χρῆσθαι δεῖν, ἀλλὰ προσθεὶς τὸ καθαίρειν ἐνεδείξατο τὸν τρόπον τῆς ἀπ' αὐτῶν γινομένης ὠφελείας, ἐκκαθαιρόντων οὐ μόνον τὰ κατὰ τοὺς νεφροὺς ἐμπεπλασμένα γλίσχρα καὶ παχέα, σὺν αὐτοῖς δὲ καὶ τὰ κατὰ τὰς φλέβας ἐμφερόμενα τῷ αἵματι παρὰ φύσιν. τὸ δ' ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἰρημένον λεπτῦναι χρήσιμόν ἐστιν ἅπασι τοῖς νεφριτικοῖς, ὅσους τε παρασκευάζομεν εἰς ἐλλεβόρου λῆψιν, ὅσους τε χωρὶς τούτου καὶ διὰ φλεβοτομίας θεραπεύομεν ἢ καὶ μετὰ τὴν τούτου προσαγωγήν. εἴρηται δὲ τὸ μὲν λεπτῦναι περὶ τῶν χυμῶν — τούτους γὰρ προσήκει λεπτῦναι —, τὸ δὲ ἀπαλῦναι περὶ τῶν στερεῶν. ἑκάτερον γὰρ χρήσιμον ἐπὶ τῶν τὸν ἐλλέβορον ληψομένων εἰς τὸ τῆς καθάρσεως

ἀκίνδυνον. ἐὰν γοῦν ἄνευ τοῦ προλεπτῦναι τοὺς χυμοὺς ἢ τὰ σώματα μαλακῦναι, δι᾽ ὧν ὁ ἔμετος, καὶ πρὸς τὰς ἐντάσεις καὶ τοὺς σπαραγμοὺς εὐάγωγα παρασκευάσαι δῶμεν ἐλλέβορον, εἰς κίνδυνον ἄξομεν πνιγμοῦ διὰ τὸ πάχος τῶν χυμῶν, ἤτοι δὲ σπασθήσεται διὰ τὸ σκληρὸν ἐν τοῖς
17a.841 σπαραγμοῖς ὁ καθαιρόμενος ἢ ἀγγεῖόν τι ῥήξει. καὶ χωρὶς δὲ τοῦ διδόναι τὸν ἐλλέβορον ἄριστόν ἐστι τοὺς μὲν χυμοὺς λεπτοὺς εἶναι, μαλακὰ δὲ καὶ πρὸς τὴν διέξοδον αὐτῶν ἐπιτήδεια τὰ τῶν νεφρῶν σώματα. τὴν ἀρχὴν γὰρ οὐδὲ γεννηθήσεταί ποτε λίθος ἐν αὐτοῖς, ἐὰν ἀμφότερά τις ταῦτα διαφυλάττῃ.

Γυναικεῖα τῇσιν ὑδαταινούσῃσιν ἐπὶ πολὺ παραμένει. ὅταν δὲ μὴ ταχὺ ἴῃ, ἐποιδέει.

Ὑδαταινούσας ἔνιοι μὲν ἤκουσαν τὰς ἐχούσας ἐπιτηδείως ἁλῶναι τῷ κατὰ τὸν ὕδερον πάθει, τινὲς δὲ τὰς φύσει λεπτὸν καὶ ὑδατῶδες ἐχούσας αἷμα. δυνατὸν δ᾽ ἐστὶν ἐπ᾽ ἀμφοτέρων ἀκοῦσαι τοῦ λελεγμένου καὶ μᾶλλόν γε ἐφ᾽ ὧν φύσει τὸ αἷμα λεπτόν ἐστι, μηδεμιᾶς νοσώδους διαθέσεως ἑτέρας ὑποτρεφομένης ἐν τῷ σώματι. ταύταις γὰρ ἡ ἔμμηνος
17a.842 κάθαρσις, ἣν γυναικεῖα κέκληκεν, ἐπὶ πολὺ παραμένει. διττὸν γάρ ἐστι καὶ αὐτὸ τοῦτο τὸ ἐπὶ πολύ, δυνάμενον ἀκούεσθαι τὸ μὲν ἕτερον ἐπὶ τῶν ἡμερῶν, ἐν αἷς αἱ τοιαῦται γυναῖκες καθαίρονται, τὸ δὲ ἕτερον ἐπὶ τῆς ἡλικίας αὐτῶν. ἐπὶ μὲν οὖν τῶν ἡμερῶν ἀκουόμενον δηλώσει πλείοσιν ἐφεξῆς ἡμέραις καθαίρεσθαι ταύτας τῶν ἄλλων γυναικῶν, ἐπὶ δὲ τῆς ἡλικίας ἄχρι πλειόνων ἐτῶν. ὄντως γὰρ ἀθροίζεται ταύταις πολὺ καὶ λεπτὸν αἷμα, καθάπερ ταῖς ἐναντίως διακειμέναις ὀλίγον τε καὶ παχύ. λευκαὶ μὲν οὖν εἰσιν αἱ πρότεραι καὶ μαλακαί, μέλαιναι δὲ καὶ σκληραὶ καὶ λεπταὶ τοὐπίπαν αἱ τὸ μελαγχολικώτερον αἷμα γεννῶσαι, καὶ πρόδηλον ὅτι ταῖς ἐξ ἀρχῆς κράσεσιν ἐναντίως ἔχουσιν. αἱ μὲν γὰρ ὑδαταίνουσαι νῦν ὑπ᾽ αὐτοῦ λεγόμεναι τῆς ὑγροτέρας τε καὶ ψυχροτέρας, αἱ δ᾽ ἐναντίαι τῆς ξηροτέρας τ᾽ εἰσὶ καὶ θερμοτέρας κράσεως. ἐὰν δὲ κατὰ πάθος ὑδαταίνωσιν, οὐ πάσαις καταμήνια πλείοσιν ἡμέραις φαίνεται. ἐνίοτε γὰρ αὐτὸ τὸ ἐπέχεσθαι τοῦ πάθους αὐταῖς αἴτιον γίνεται. πάλιν δὲ τὸ ἐπέχεθαι δι᾽ ἔμφραξίν τε τῶν κατὰ τὴν μήτραν
17a.843 στομάτων γίνεται καὶ διὰ πάχος τοῦ αἵματος. ὅθεν ἔνιοι τῶν ἀξιούντων

ἐπὶ τῶν κατὰ πάθος ὑδαταινουσῶν τὸν λόγον εἶναι τῷ παραμένει ῥήματι κατὰ τὴν τελευταίαν συλλαβὴν προσθέντες τὸ ν γράφουσι· «γυναικεῖα τῇσιν ὑδαταινούσῃσιν ἐπὶ πολὺ παραμένειν», ὑπακοῦσαι κελεύοντες ἡμᾶς τὸ προσῆκον, ὡς εἰ καὶ οὕτως εἰρήκει· «γυναικεῖα τῇσιν ὑδαταινούσῃσιν ἐπὶ πολὺ χρὴ παραμένειν», ἵνα συμβουλευτικός τε καὶ θεραπευτικὸς ὁ λόγος ᾖ, τοῦ γινομένου μόνον ἐπ᾽ αὐτῶν περιέχων διήγησιν. ὁμολογεῖν δὲ τούτῳ φασὶ καὶ τὸ κατὰ τὴν τελευτὴν εἰρημένον· ὅταν δὲ μὴ ταχὺ ἴῃ, ἐποιδέει· βούλεσθαι γὰρ αὐτὸν ὥσπερ ἐν πλείοσιν ἡμέραις, οὕτως καὶ δι᾽ ὀλίγου χρόνου καθαίρεσθαι τὰς τοιαύτας γυναῖκας, ἐπειδὴ βραδυνόντων τῶν καταμηνίων οἰδήματα γίνεται· καίτοι ταὐτὸ κἀπὶ τῶν ὑδατῶδες ἐχουσῶν αἷμά φησι συμβαίνειν. καὶ γὰρ καὶ ταύταις αἱ σάρκες ὑδατωδέστεραι γίνονται, μὴ κατὰ προθεσμίαν ἀπαντώσης τῆς καθάρσεως.

17a.844 Ἐν Κρανῶνι αἱ παλαιαὶ ὀδύναι ψυχραί, αἱ δὲ νεαραὶ θερμαί. αἵματι δὲ αἱ πλεῖσται καὶ τὰ ἀπὸ ἰσχίου ψυχρά.

Καὶ ταῦθ᾽ ἑαυτῷ φαίνεται γεγραφὼς ὁ Ἱπποκράτης ἀναμνήσεως ἕνεκεν ἐν κεφαλαίῳ βραχεῖ, διὸ καὶ ἀσαφέστερος ὁ λόγος ἐστίν. ἄδηλον γάρ, εἴτε ὀδύνας μόνον ἐν Κρανῶνι γεγονέναι φησὶ καὶ ταύτας ἤτοι κατὰ τὴν κοιλίαν ἢ κατ᾽ ἄλλο τι μέρος, εἴτε ὀδυνώδη πάθη. τὸ δ᾽ οὖν τὰς μὲν παλαιὰς ὀδύνας ψυχρὰς γενέσθαι, τὰς δὲ νεαρὰς θερμάς, καίτοι δοκοῦν σαφῶς εἰρῆσθαι, περιέχει καὶ αὐτό τινα ἀσάφειαν· ἤτοι γὰρ παλαιὰς λέγει τὰς πάλαι γεγονυίας ἢ τὰς χρονιζούσας, ὥσπερ γε καὶ τὰς νεαρὰς ἤτοι τὰς νῦν συνισταμένας ἢ τὰς ταχέως παυομένας, καὶ ψυχρὰς ἤτοι τὰς ψύξεως αἴσθησιν φερούσας ἢ τὰς ἀπὸ τῶν θερμαινόντων παρηγορουμένας, ὡσαύτως δὲ καὶ θερμὰς ἤτοι τὰς θερμότητος αἴσθησιν ἐχούσας ἢ
17a.845 παρηγορουμένας ὑπὸ τῶν ψυχόντων. ἔνιοι δὲ ψυχρὰς μὲν εἰρῆσθαί φασι τὰς βραχείας, θερμὰς δὲ τὰς μεγάλας, οὐ συνήθως τοῖς Ἕλλησιν ἀκούοντες τῶν σημαινομένων. ἐν τίνι δὲ τοῦ ἔτους ὥρᾳ ὁ Ἱπποκράτης ταῦτα ἔγραψεν ἀγνοοῦντες ἡμεῖς οὐδὲ περὶ τοῦ πότε συνέστησαν ἢ πῶς ἢ μέχρι πόσου παρέμειναν αἱ ὀδύναι δυνάμεθα σαφῶς εὑρεῖν. τὸ δ᾽ οὖν αἵματι δ᾽ αἱ πλεῖσται δείκνυται τὰς νεαρὰς μὲν αὐτῶν αἵματι γενέσθαι τοὐπίπαν ἐν ἴσῳ τῷ ὑφ᾽ αἵματος θερμοῦ τε δηλονότι καὶ πολλοῦ, ἐπὶ δὲ

τῶν παλαιῶν τὸ αὐτὸν μὴ προσθεῖναι τὸν χυμὸν ἐνδεικτικόν ἐστι τοῦ τὰς παλαιὰς ὑφ᾽ ἑτέρου τινὸς χυμοῦ γενέσθαι, ψυχροῦ. καὶ τὰ ἀπὸ ἰσχίου δὲ ψυχρὰ γεγονέναι φησὶν αὐτοῖς, ἤτοι πάθη λέγων ἢ ἀλγήματα, ψυχροῦ δηλονότι καὶ τοῦ ταῦτα ἐργαζομένου χυμοῦ. θαυμάσαι δ᾽ ἔστι πολλοὺς τῶν ἐξηγητῶν εἰς μὲν τὰς τοιαύτας ῥήσεις, ἐν αἷς οὐδὲν ἔστι βεβαίως εὑρεῖν, ἀναπόδεικτα γράφοντας πολλά, καθ᾽ ἃς δ᾽ ἀποδεῖξαί τι δυνατόν
17a.846 ἐστι καὶ χρησίμως εὑρεῖν, ἤτοι μηδὲν ὅλως γράφοντας ἢ βραχέα καὶ ἀναπόδεικτα, καθάπερ προστάγματα.

Τὰ ἐς ῥίγεα ἰσχυρὰ ἰόντα οὐ πάνυ τι πρῃύνεται, ἀλλ᾽ ἐγγὺς ἀκμῆς.

Οὕτως ἴσασι γεγραμμένην τὴν ῥῆσιν οἱ παλαιότεροι τῶν ἐξηγητῶν. οἱ δὲ νεώτεροι πρὸς τὸ σαφέστερον ὑπαλλάξαντες αὐτὴν ὧδέ πως γράφουσι· «τὰ ῥίγεα ἰσχυρὰ ἐόντα οὐ πάνυ τι πρῃύνεται, ἀλλ᾽ ἐγγὺς ἀκμῆς» καὶ βούλονται τὴν λέξιν τήνδε διδάσκειν ἡμᾶς, ὅσα τοῖς νοσοῦσιν ἰσχυρὰ γίνεται ῥίγη, μὴ πάνυ τι ταῦτα πραΰνεσθαι κατ᾽ ἄλλον τινὰ καιρὸν τῆς νόσου, ἀλλὰ μόνον ὅταν ἐγγὺς ᾖ τῆς ἀκμῆς· κατὰ δὲ τὴν προτέραν γραφὴν τὰ ἐς ῥίγεα ἰσχυρὰ ἰόντα, τουτέστιν ἀφικνούμενα πάθη — προσυπακοῦσαι γὰρ δεῖ τὸ «πάθη» —, προσήκειν ἀκοῦσαι μὴ πραΰνεσθαι
17a.847 ταῦτα πρὸ τῆς ἀκμῆς. ἔνιοι μὲν οὖν ἀκμῆς αὐτὸν μεμνῆσθαί φασι τοῦ ὅλου καιροῦ τοῦ νοσήματος, ἔνιοι δὲ τῆς τῶν κατὰ μέρος παροξυσμῶν, ὡς τοῦ ῥίγους, ὅταν ἰσχυρὸν ᾖ, μὴ παυομένου πρὸ τοῦ πλησιάσαι τὸν τῆς ἀκμῆς καιρόν. φαίνεται μὲν οὖν τοῦτο γινόμενον ἐνίοις καὶ καλοῦμεν αὐτὸ «ῥῖγος ἀνεκθέρμαντον», οὐκ ἰσχυρόν. ἐγχωρεῖ δὲ καὶ κατὰ τὴν δύναμιν ἰσχυρὸν αὐτὸ φάναι, κακοηθέστερον γάρ ἐστι πολὺ τοῦ σφοδροῦ μὲν ὑπερβαλλόντως, ἐν τάχει δὲ παυομένου. τὴν δ᾽ ὅλου τοῦ νοσήματος ἀκμὴν ἀκούοντί σοι μάλιστα ἐπὶ τεταρταίων πυρετῶν ὁ λόγος ἐστὶ χρήσιμος. ἐὰν μὲν γὰρ ἅμα ῥίγεσιν ἰσχυροῖς ἐμβάλλωσιν οἱ παροξυσμοί, μηδὲν ἐνδιδόντων αὐτῶν, ἀδύνατόν ἐστιν ἤδη τὴν ἀκμὴν ἀπειληφέναι τὸ νόσημα καὶ δηλονότι πολὺ μᾶλλον οὐδὲ τὴν παρακμὴν ἐλπίζειν χρὴ τοῦ τοιούτου τεταρταίου γενήσεσθαι, πρὶν λωφῆσαι τὸ ῥῖγος, ὥσθ᾽ ὁ λόγος ἐστὶ προγνωστικὸς ἐπὶ τῶν εἰς ῥίγη σφοδρὰ πυρετῶν ἰόντων, ὧν οὐχ οἷόν τε εἶναί φησι λύσιν γενέσθαι πρὸ τοῦ πραϋνθῆναι τὸ ῥῖγος, καὶ
17a.848 τοῦτο γίνεσθαι πλησίον τῆς ἀκμῆς. συμβαίνει δὲ τὰ τοιαῦτα ῥίγη διὰ

ψυχρὸν πάνυ φλέγμα τὸ ὑαλῶδες ὀνομαζόμενον ἢ τὸν μελαγχολικὸν χυμόν. ἀλλ᾽ ἐπὶ μὲν τῷ ψυχρῷ φλέγματι τὸ δυσεκθέρμαντον, οὐ τὸ σφοδρὸν γίνεται ῥῖγος, ἐπὶ δὲ τῷ μελαγχολικῷ ποτὲ μὲν ἀμφότερα, ποτὲ δὲ θάτερον. ἀλλ᾽ ὁ μὲν τοιοῦτος χυμὸς διὰ τετάρτης φέρει τὸν παροξυσμόν, ὁ δ᾽ ὑαλώδης τὸν ἀμφημερινόν. οὐδὲν μὴν οἱ ἐξηγηταὶ τῶν τοιούτων διαιροῦσιν, ἀλλ᾽ ἐν οἷς οὐδὲν ὠφελοῦσι τοὺς μαθητάς, ἐπὶ πλεῖστον ἐκεῖνα διέρχονται. καὶ γὰρ οὖν καὶ κατὰ τὴν ἑξῆς ῥῆσιν ἰατρικωτάτην οὖσαν ἐλέγχονται τῶν ἀξιολογωτάτων θεωρημάτων οὐδὲν ἐπιστάμενοι.

Πρὸ ῥίγεος αἱ ἐπισχέσιες τῶν οὔρων ἦν ἐκ χρηστῶν ἴωσι καὶ ἦν μὴ κοιλίη διέλθῃ καὶ ὕπνοι ἐνεῶσιν, ἴσως μὲν καὶ ὁ τρόπος τοῦ πυρετοῦ, ἴσως δὲ καὶ τὰ ἐκ κόπων.

17a.849 Οὐκ οἶδ᾽ ὅ τι εἴπω, μὰ τοὺς θεούς, ὅταν ὠφελιμώτατον θεώρημα μυριάκις ἐπὶ τῶν νοσούντων φαινόμενον ἀγνοῶσιν οἱ τὸ βιβλίον ἐξηγησάμενοι. τὸ μὲν οὖν τῶν ἄλλων ἧττον ἄν τις θαυμάσειε, τὸ δὲ Σαβίνου καὶ Ῥούφου τοῦ Ἐφεσίου, τοῖς Ἱπποκράτους συγγράμμασιν ὠμιληκότων ἀνδρῶν οὐ παρέργως, ἄξιον ὄντως ἐστὶ θαύματος, εἰ μὴ πολλάκις ἐθεάσαντο ῥίγους κρισίμου προηγησαμένην ἐπίσχεσιν οὔρου, περὶ ἧς νῦν ὁ Ἱπποκράτης γράφει, προγινώσκειν ἡμᾶς διδάσκων ἐσόμενον ἐν νόσῳ κρίσιμον ῥῖγος. ἐὰν μὲν γὰρ ἐν ὀξεῖ πυρετῷ τἆλλα σοι σημεῖα σωτήρια φαίνηται καὶ κρίσιν ἐλπίζῃς ὑπόγυον ἔσεσθαι, γινώσκειν σε χρὴ τῶν οὔρων ἐπισχεθέντων ἐξ ἀνάγκης ἔσεσθαι τὸ κρίσιμον ῥῖγος. ἐὰν δὲ καὶ ἡ νὺξ προηγήσηται δύσφορος ἥ τε ἡμέρα κρίσιμος ᾖ, βεβαιότερον ἔτι προερεῖν ἔσεσθαι τὸ ῥῖγος. ἐὰν δὲ τὸ διὰ σφυγμοῦ σημεῖον, ὡς ἐν τοῖς Περὶ σφυγμῶν ἔμαθες, ἐνδείξηταί σοι ταὐτόν, μὴ μόνον ἔσεσθαι τὸ ῥῖγος, ἀλλὰ καὶ σφοδρὸν ἔσεσθαι βεβαίως ἔλπιζε. τὸ τοίνυν ἐκ χρηστῶν ἤτοι τῶν οὔρων μόνων ἢ καὶ τῶν ἄλλων ἅμα αὐτοῖς
17a.850 τῶν ἀγαθῶν σημείων ἀκούειν σε χρή. τηλικαύτη μὲν ἡ δύναμίς ἐστι τῶν ἐν τοῖς οὔροις σημείων ἐν τοῖς ὀξέσι πυρετοῖς, ὥστε καὶ μόνῃ πιστεύειν αὐτῇ. προσερχομένων δὲ καὶ τῶν ἄλλων, πρόγνωσις ἔσται σοι βεβαιοτάτη καὶ ἀμετάπτωτος, ὡς τὸ διηνεκὲς ἔχειν. αἱ μέντοι τῶν οὔρων ἐπισχέσεις γίγνονται καὶ τῆς κοιλίας ἐκκρινούσης πολλά. δηλοῦται γὰρ

ἐνταῦθα ῥέπειν ἡ ὀρρώδης ὑγρότης, ἧς ἔμαθες, ὅταν πλεονάζῃ, τρεῖς εἶναι κενώσεις, τὴν διὰ γαστρός, τὴν δι᾽ οὔρων, τὴν δι᾽ ἱδρώτων. ἐὰν μὲν οὖν ἡ κοιλία πλείω διαχωρήσῃ, τῇ τῶν οὔρων ἐπισχέσει θαρρεῖν οὐ προσῆκον εἰς τὴν τοῦ ῥίγους πρόγνωσιν. ἐὰν δὲ καὶ αὕτη μηδὲν ὅλως προδιαχωρήσῃ, προεγνωκότι σοι τὸ νόσημα πλησίον εἶναι κρίσεως ἀναγκαῖόν ἐστι ῥιγῶσαί τε καὶ ἱδρῶσαι τὸν κάμνοντα.

τί ποτε οὖν σημαίνει τὸ καὶ ὕπνοι ἐνεῶσιν; εἰ μὲν γὰρ ὡς ἕν τι τῶν ἀγαθῶν σημείων εἴρηται, τὸ μέγιστον εἰς τὰ παρόντα συμφωνήσει τῷ ἢν ἐκ χρηστῶν ἴωσιν, ὥσπερ τι παράδειγμα λελεγμένον. εἰ δ᾽ ὡς καὶ τοῦτο τοῦ γενησομένου ῥίγους ὂν σημεῖον, οὐχ ἁπλῶς σε χρὴ γινώσκειν περὶ
17a.851 τοῦδε. πολλάκις μὲν γὰρ ἡ προηγησαμένη νὺξ τοῦ τε ῥίγους καὶ τῆς ἐπ᾽ αὐτῷ κρίσεως γίνεται δύσφορος, ὁπότε βεβαιοτάτην ἕξεις σὺν τοῖς εἰρημένοις τὴν τοῦ γενησομένου ῥίγους πρόγνωσιν. ἐνίοτε δὲ ἐν τῷ σπανίῳ μεθ᾽ ὕπνων χρηστῶν εὔφορος γίνεται ἡ νὺξ καὶ φαίνεται τούτοις οὐχ ὁ τοῦ ῥίγους δηλωτικὸς σφυγμός, ἀλλ᾽ ὁ τῆς ἐκκρίσεως. ἔμαθες δὲ περὶ τούτων ἱκανῶς ἐν Τῇ τῶν σφυγμῶν πραγματείᾳ.

προσεπισκοπεῖσθαι δὲ καὶ τὸν τρόπον τοῦ πυρετοῦ κελεύει σε, τουτέστιν εἰ θερμὸς καὶ χολώδης καὶ καυσώδης ἢ τῶν ἄλλων τις. ὅσα γὰρ ἐν τοῖς ὀξέσι πυρετοῖς καὶ μάλιστα τοῖς καυσώδεσι γίνεται ῥίγη κριτικά, ταῦτα ἔμαθες ἐπὶ τῇ ξανθῇ χολῇ διὰ τῶν αἰσθητικῶν σωμάτων φερομένη πρὸς τὸ ἐκτὸς ἀποτελεῖσθαι. διὰ δὲ τοῦτο καὶ οἱ ἐκ κόπων πυρετοί, χολωδέστατοι τὴν κρᾶσιν ὄντες, εἰς τὴν πρόγνωσίν σοι καὶ αὐτοὶ συντελοῦσιν. αὕτη μὲν οὖν ἡ ἀπὸ τῶν προκαταρκτικῶν αἰτίων εἰς τὴν πρόγνωσιν ὠφέλεια, λελεγμένη μὲν ὡς ἐπὶ παραδείγματος ἑνός, ἐσομένη δέ σοι χρήσιμος κἀπὶ τῶν ἄλλων αἰτίων τῶν προκαταρκτικῶν, ὅσα
17a.852 χολωδέστερον ἐργάζεται τὸ σῶμα. ταῦτα δ᾽ ἐστὶν ἐγκαύσεις τε καὶ ἀγρυπνίαι καὶ φροντίδες καὶ λῦπαι καὶ θυμοὶ καὶ τροφῆς ἔνδεια καὶ τῶν χολωδῶν ἐδεσμάτων πλεονεξία. πρώτη μὲν γάρ σοι καὶ ἀσφαλεστάτη διάγνωσις τοῦ τρόπου τῶν πυρετῶν ἀπὸ τῶν φαινομένων κατὰ τὸ σῶμα γενήσεται, καθάπερ ἔμαθες ἐν τοῖς Περὶ διαφορᾶς τῶν πυρετῶν. ἐφεξῆς δὲ καὶ ἡ ἀπὸ τῶν προκαταρχόντων αἰτίων εἰς ἀσφαλεστέραν πίστιν ὧν

εὗρες οὐ σμικρὰ συντελέσει. θαυμαστὸν οὖν, ὅπως τοῦτο τὸ θεώρημα χρησιμώτατον ὂν ἔλαθε τοὺς ἐξηγητάς.

Ἀποστάσιες οὐ μάλα οἷσι ῥίγεα.

Σπανίως ἀποστάσεις γίνονται τοῖς μετὰ ῥίγους πυρέττουσιν, ὥσπερ ἐν
17a.853 τεταρταίοις πυρετοῖς καὶ τριταίοις. αἱ γὰρ ἐν ταῖς παρακμαῖς τῶν τοιούτων παροξυσμῶν ἐκκρίσεις κενοῦσι τὸ πλῆθος, ὥστε πάνυ χρὴ πολλὴν εἶναι τὴν περιουσίαν τῶν λυπούντων χυμῶν, ἵν᾽ ἡ φύσις ἀποστάσεως δεηθῇ.

Αἱ τῶν σκελέων ἐκθηλύνσιες, οἷον ἢ πρὸ νόσου ὁδοιπορήσαντι ἢ ἐκ νόσου αὐτίκα, διότι ἴσως τὸ ἐκ κόπων εἰς ἄρθρα ἀπέστη, δι᾽ ὃ αἱ τῶν σκελέων ἐκθηλύνσιες.

Οὐκ ἔστι γνῶναι σαφῶς, πότερον τὰς ἀσθενείας μόνας ἐκθηλύνσεις εἴρηκεν ἢ τὰς σὺν ἀτροφίᾳ τῶν σκελῶν ὅλων γινομένας. ὅσον μὲν γὰρ ἐπὶ τῷ προτέρῳ τῶν προειρημένων παραδειγμάτων, ἐγχωρεῖ καὶ τὰς σὺν ἀτροφίᾳ νοεῖν. ὅσον δ᾽ ἐπὶ τῷ δευτέρῳ, καθ᾽ ὅ φησι διότι ἴσως τὸ ἐκ κόπων εἰς ἄρθρα ἀπέστη, τὰς ἰσχνότητας οὐκ ἄν τις εὐλόγως ἀκούσειεν, ἀλλ᾽ ἁπλῶς τὰς ἀσθενείας, αἵτινες δύνανται καὶ χωρὶς ἰσχνότητος ἤτοι γ᾽
17a.854 ἐκλύτους τὰς ἐνεργείας ἐργάσασθαι τῶν σκελῶν ἢ καὶ τὰς ἀποστάσεις ὑποδέχεσθαι. τὸ δὲ ἐπὶ τῷ τέλει προσκείμενον δι᾽ ὃ αἱ τῶν σκελέων ἐκθηλύνσιες εἴρηται καὶ κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως. ὅθεν ἔνιοι τῶν ἐφεξῆς γεγραμμένων ἡγούμενον αὐτὸ ποιοῦσι, πρῶτον μὲν ἀφαιροῦντες τὸ διότι, συμμετακοσμοῦντες δὲ αὐτῷ τινὰ καὶ τῶν ἐκ τῆς ἑπομένης ῥήσεως. ὅπερ δὲ καὶ κατὰ τὴν ἀρχὴν εἶπον, ἀναμνήσω καὶ νῦν, ἔστι δὲ τοῦτο τὸ πολυειδῶς γεγράφθαι τὰς ἐν τούτῳ τῷ βιβλίῳ ῥήσεις, ὥσπερ καὶ τήνδε, μετὰ τοῦ διεσπάσθαι τινὰς οὐκ ὀρθῶς ἢ συνῆφθαι πάλιν οὐ προσηκόντως. ὧν εἰ μνημονεύσοιμι πάντων ἅμα τῷ διελέγχειν τοὺς ἁμαρτάνοντας, εἰς ἄπειρον ἐκταθήσεται μῆκος ὁ λόγος.

Φύματα ἔξω ἐξοιδέοντα καὶ τὰ ἀπόξεα καὶ τὰ κορυφώδεα καὶ τὰ ὁμαλῶς
17a.855 ξυμπεπαινόμενα καὶ μὴ περίσκληρα καί κατάρροπα καὶ τὰ μὴ δίκραια ἀμείνω. τὰ δ᾽ ἐναντία κακὰ καὶ ὅσα πλείστως ἐναντία κάκιστα.

Ἀπὸ τῶν ἐν τῇ γῇ φυομένων οἱ ἄνθρωποι φύματα κεκλήκασι τοὺς παρὰ φύσιν ὄγκους, ὅσοι τοὐπίπαν ἄνευ τῆς ἔξωθεν αἰτίας γίνονται. μάλιστα οὖν ὀνομάζουσιν οὕτω τὰ πρὸς τὸν ἐκτὸς τόπον ἐπειγόμενα. τῷ δ' οὐκ ἔχειν ἕτερον ὄνομα καὶ τὰ πλατέα καὶ βραχεῖ τοῦ κατὰ φύσιν ὑψηλότερα καὶ ταῦθ' ὡσαύτως ἐνίοτε προσαγορεύουσιν, ὅπερ καὶ Ἱπποκράτης ἐποίησεν, ἀγαθὰ μὲν εἶναι λέγων τὰ ἐξοιδοῦντα, τουτέστιν ἐφ' ὧν ἀξιόλογος ἡ ἐξόγκωσις ἢ ὅσα τὴν αὔξησιν οὐκ εἰς τὴν ἔσω χώραν, ἀλλ' εἰς τὴν ἔξω ποιεῖται, καθάπερ ἐν Προγνωστικῷ γράφων εἶπεν· «Ὅσα μὲν ἔξω τρέπεται, ἄριστά ἐστιν ὡς μάλιστα ἐκκλίνοντα καὶ ἐς ὀξὺ ἀποκορυφοῦντα.» «ὅσα δέ», φησίν, «ἔσω ῥήγνυται, ἄριστά ἐστιν, ἃ τῷ ἔξω χωρίῳ μηδὲν ἐπικοινωνεῖ». κάλλιον μὲν γὰρ ἔξω ῥέπειν, εἰ δὲ ἔσω
17a.856 ῥέπει, βέλτιον πάλιν ἐν τούτοις ἐστὶν ἅπασιν αὐτῶν τὴν ῥοπὴν εἰς τὴν ἔσω χώραν ποιεῖσθαι. τῶν μὲν οὖν φυμάτων ἡ γένεσις ἐν ἐπιγαστρίῳ τέ ἐστιν καὶ κατὰ θώρακα. τούτοις γὰρ ὑπόκεινται χῶραι κεναί, τὸν παρὰ φύσιν ὄγκον ἐκδεχόμεναι τῶν ἔσω ῥεψάντων φυμάτων. αὐτῶν δὲ τῶν ἐξογκουμένων ἔξω τὰ ἀπόξεα καὶ κορυφώδη κρείττονα τῶν πλατέων ἐστίν, ὡς ἂν ὑπὸ θερμοτέρων τε καὶ λεπτοτέρων τῇ συστάσει γινόμενα χυμῶν καὶ διὰ τοῦτο ταχέως ἐκπυϊσκόμενα. τὰ γὰρ ὑπὸ παχέων καὶ γλίσχρων γινόμενα ὡς ἂν ψυχρῶν ὄντων πλατέα τέ ἐστι καὶ δύσπεπτα καὶ σήπεται μᾶλλον, οὐ πέττεται χρόνῳ πλείονι. σὺν τούτοις δὲ ἐπαινεῖ καὶ τὰ ὁμαλῶς ἐκπυϊσκόμενα. τὰ γὰρ ἐκ μέρους μέν τινος ἑαυτῶν ἐκπυήσαντα, τὸ λοιπὸν δὲ ἅπαν ἀνεκπύητον ἔχοντα πρῶτον μὲν αὐτῷ τῷ χρονιώτερα τῶν ἄλλων ἐκπυησάντων εὐθέως εἶναι μοχθηρά, δεύτερον δὲ τῷ δυσχερεῖ τῆς θεραπείας. ἄλλων μὲν γὰρ δεῖται τὰ διαπυήσαντα ἰαμάτων, ἄλλων δὲ τὰ ἀνεκπύητα. καὶ τὰ μὴ περίσκληρα δὲ βελτίω τῶν
17a.857 περισκλήρων ἐστίν, ὀνομάζει δὲ περίσκληρα τὰ τὸ μέσον μὲν ἑαυτῶν ἔχοντα μαλακὸν καὶ διαπυΐσκον, ὅσον δὲ ἐν κύκλῳ τούτου, σκληρὸν καὶ δυσεκπύητον ἢ ὅλως ἀνεκπύητον. ἐπαινεῖ δὲ καὶ τὰ κατάρροπα φύματα. ταῦτα δ' ἐστὶν ὅσα κατὰ τὴν κάτω χώραν τὴν κορυφὴν ἑαυτῶν ἴσχει τῆς ἐκπυήσεως. ἐνταῦθα γὰρ ἀναστομωθέντα τὰς ἀπορρύσεις εὐπετεῖς λαμβάνει, εἰ μὴ λάθοι γέ σε τῶν ἀνωμάλων ὄντα. καὶ τούτοις γὰρ τὸ μέν τι χρηστὸν ὑπάρχει, τὸ δέ τι μοχθηρόν. ὅσα δὲ τὴν ἐκπύησιν ὁμαλὴν ἔχοντα τὴν κορυφὴν ἐν τοῖς κάτω μέρεσι ποιεῖται, ταῦτα ἄριστα.

καὶ τὰ μὴ δίκραια δὲ βελτίω τῶν δικραίων εἶναί φησιν. εὑρίσκεται γὰρ τῶν δικραίων τὸ μέσον οὐκ ἀπαθὲς μέν, ἀνεκπύητον δὲ καὶ σκληρόν. εὔδηλον δ' ὅτι τῶν ἐναντίως ἀλλήλοις διακειμένων φυμάτων ὧν διῆλθεν, ὅσα πλεῖστον ἀλλήλων διαφέρει ταῖς ἰδέαις, ταῦτα καὶ ταῖς δυνάμεσι καὶ τοῖς ἤθεσι διαφέρει πάμπολυ. πλάτος γὰρ ἱκανὸν ἐχουσῶν τῶν εἰρημένων διαφορῶν, ἀναγκαῖον εἶναι μέν τι μέσον τῶν ἐναντίων, ἀποκεχωρηκέναι δὲ τοῦ μέσου τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον, οἷον ἐπὶ τῶν
17a.858 σκληρῶν καὶ μαλακῶν. ἐπὶ μιᾶς γὰρ ἀντιθέσεως ὡς ἐπὶ παραδείγματος ἀρκέσει τὸν λόγον ποιήσασθαι· τὸ μὲν σκληρὸν τοῦ μαλακοῦ φαυλότερόν ἐστιν, αὐτοῦ δὲ τοῦ σκληροῦ τὸ μᾶλλον σκληρόν, ὅ τι δ' ἐστὶ σκληρότατον, τοῦτ' ἂν εἴη χαλεπώτατον. οὕτω δὲ καὶ τὸ μὲν μετρίως μαλακὸν ἀγαθὸν μετρίως ἐστί, τὸ δὲ τελέως μαλακὸν ἀγαθὸν καὶ τοῦτο τελέως. ἅπερ οὖν ἐπὶ ταύτης τῆς ἀντιθέσεως ἤκουσας, ἐπὶ τὰς εἰρημένας ἁπάσας δεῖ μεταφορᾶς.

Τὸ θηριῶδες φθινοπώρου καὶ αἱ καρδιαλγίαι καὶ τὸ φρικῶδες καὶ τὸ μελαγχολικόν.

Εἴτε τὰς ἀσκαρίδας, εἴτε τὰς ἕλμινθας λέγει τὸ θηριῶδες, εἴτε ἐλέφαντα καὶ καρκίνον, εἴτε φθίσιν, ὥς τινες ἤκουσαν, εἴτε πᾶν τὸ κακόηθες, εἰκότως ἐν φθινοπώρῳ τὰ τοιαῦτα γίνεται πάντα διά τε τὴν κακοχυμίαν
17a.859 τῆς ὥρας καὶ τὴν τοῦ περιέχοντος ἀνώμαλον κρᾶσιν. οὐδὲν οὖν θαυμαστόν, εἰ καὶ καρδιαλγίαι καὶ τὸ φρικῶδες καὶ τὸ μελαγχολικὸν ἐπικρατεῖ κατὰ τὴν φθινοπωρινὴν ὥραν. ἅπαντα γὰρ ἕπεται ταῦτα τοῖς προειρημένοις αἰτίοις. εἴρηται δὲ ἡμῖν ἐπὶ πλέον ἐν τῇ τοῦ δευτέρου τῶν Ἐπιδημιῶν ἐξηγήσει περὶ τῶν κατὰ τὸ φθινόπωρον ἁπάντων.

Πρὸς τὰς ἀρχὰς τοὺς παροξυσμοὺς ἐπισκέπτεσθαι καὶ ἐν ἁπάσῃ τῇ νούσῳ, οἷον τὸ δείλης παροξύνεσθαι καὶ ὁ ἐνιαυτὸς εἰς δείλην καὶ αἱ ἀσκαρίδες.

Κἀν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν οὕτως ἐγέγραπτο· «πρὸς τὰς ἀρχὰς τῶν νούσων σκεπτέον, εἰ αὐτίκα ἀνθεῖ». χρῆται γὰρ ἐνίοτε τῇ πρὸς τὰς ἀρχὰς φωνῇ ὁ Ἱπποκράτης, ὡς εἰ καὶ κατὰ τήνδε τὴν λέξιν εἶπε· «πρὸς τὰς ἀρχὰς τῶν νούσων διαφέρει τὸ σκοπεῖσθαι, εἰ αὐτίκα ἀνθεῖ,» καθάπερ
17a.860 κἀν τῷ φάναι, «ὅτι καὶ πρὸς τὸ ὑγραίνειν καὶ ξηραίνειν καὶ θερμαίνειν

καὶ ψύχειν πολλὰ ἄν τις εὕροι τοιαῦτα.» οὐ γὰρ ὡς ἐναντιούμενος οὐδ' ὡς ἀντιλέγων, ἀλλ' ὡς συνεργῶν τῷ «πρὸς» ἐν τῷ «πρὸς τὸ θερμαίνειν καὶ ψύχειν καὶ ξηραίνειν καὶ ὑγραίνειν» χρῆται. δέδεικται δὲ καὶ τοῦθ' ἡμῖν ἐν οἷς ἐξηγούμεθα τὸ δεύτερον τῶν Ἐπιδημιῶν. εἰ δ' οὐχ οὕτως ἐθέλοι τις ἀκούειν τῆς λέξεως, ἀναγκαῖόν ἐστι τὸ πρὸς τὰς ἀρχὰς ἀντὶ τοῦ «κατὰ τὰς ἀρχὰς» ἢ «περὶ τὰς ἀρχὰς» ἀκούειν. οὐ μὴν ἐν ταῖς ἀρχαῖς γε μόναις τοῦτο παραινεῖ σκοπεῖν, ἀλλ' ἐν ὅλαις ταῖς νόσοις, εἶτα παράδειγμα προσέθηκεν, ὃ δυνατόν ἐστιν ἀναγνῶναι διττῶς, καθ' ἕνα μέντοι τρόπον οἷον τὸ ἐς δείλην παροξύνεσθαι καὶ ὁ ἐνιαυτός, εἶτ' ἀφ' ἑτέρας ἀρχῆς ἐς δείλην καὶ αἱ ἀσκαρίδες· καθ' ἕτερον δὲ τρόπον οἷον τὸ ἐς δείλην παροξύνεσθαι καὶ ὁ ἐνιαυτὸς ἐς δείλην, εἶτα ἀπ' ἄλλης ἀρχῆς αἱ ἀσκαρίδες. ἀναλογίαν γάρ τινα ἔχειν ἡγεῖται τὴν ἡμέραν πρὸς ὅλον τὸν ἐνιαυτόν, ὡς τῷ μὲν ἑωθινῷ καιρῷ τὸ ἔαρ ἐοικέναι, τῇ δὲ μεσημβρίᾳ τὸ
17a.861 θέρος, τῇ δὲ ἑσπέρᾳ τὸ φθινόπωρον, τῇ δὲ νυκτὶ τὸν χειμῶνα. λέλεκται δὲ καὶ περὶ τούτων ἐπὶ πλέον ἐν οἷς ἐξηγούμεθα τὴν ἐν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν ῥῆσιν, ἧς ἀρχὴ «αἱ ἀσκαρίδες δείλης».

Νηπίοισι βηχίον σὺν γαστρὸς ταραχῇ καὶ πυρετῷ συνεχεῖ σημαίνει μετὰ κρίσιν διμηνιαίῳ τὸ σύμπαν εἰκοσταίῳ καὶ οἰδήματα ἐς ἄρθρα.

Ἅπαντες ὁμοίως πιστεύουσι τοῖς γεγραμμένοις οἱ ἐξηγησάμενοι μετὰ τοῦ μηδὲ νοεῖν ὧν ἐπαινοῦσιν ἔνια. καίτοι τινὰ μέν, εἰ καὶ κακοζηλότερον εἰπεῖν, οἷον νεῦρα τῆς τέχνης ἐστίν, τινὰ δὲ πάνυ σμικρὰν ἔχει τὴν ὠφέλειαν, ἔνια δὲ οὐδὲ σμικράν, ὥσπερ καὶ τὸ κατὰ τὴν προκειμένην ῥῆσιν. ἐγὼ γὰρ ὅσα μὲν ἀεὶ φαίνεται γιγνόμενα κατὰ τοὺς ἀρρώστους ὡσαύτως ἀξιομνημόνευτα νομίζω, καὶ τούτων αὐτῶν μάλιστα τὰ μεγάλην ἔχοντα τὴν χρείαν, ὥσπερ ὀλίγον ἔμπροσθεν ἔλεγον ἐπὶ τῆς
17a.862 κατὰ τὸ ῥῖγος προγνώσεως. ἐν σφοδροτάτῳ γὰρ ἐνίοτε πυρετῷ μετ' ἀγρυπνίας καὶ ἄσης καὶ δίψους καὶ δυσφορίας, ἔσθ' ὅτε δὲ καὶ παραφροσύνης, ἁπάντων ταραττομένων καὶ κλαιόντων τῶν οἰκείων τοῦ κάμνοντος, ἔνεστιν ἐπιστημονικῶς προειπόντα ῥῖγός τε καὶ ἱδρῶτα καὶ λύσιν τοῦ νοσήματος Ἀσκληπιὸν εἶναι δοκεῖν.

ἐπὶ δὲ τοῦ νῦν λεγομένου πρῶτον μὲν οὐ σαφές ἐστιν ὃ λέγει. δεύτερον δὲ κἂν ἁπάσας αὐτοῦ τὰς πιθανὰς ἐκδοχὰς ὑπόθηταί τις ἔχεσθαι τῆς τοῦ

γράψαντος γνώμης, οὐδὲν ἐξ αὐτῶν ἔστι προειπεῖν. ὑποκείσθω γάρ τι νήπιον βῆττον ἅμα γαστρὸς ταραχῇ καὶ πυρετῷ συνεχεῖ κἄπειτα κρινόμενον ὁπωσοῦν ἐν ᾗπερ ἂν ἡμέρᾳ βουληθῇς, εἴτ᾽ οὖν ὀγδοηκοστῇ μετὰ τὴν ἀποκύησιν, εἴθ᾽ ἑξηκοστῇ — διττῶς γὰρ ἐξηγήσαντο τὴν λέξιν τήνδε, διμηνιαίῳ τὸ σύμπαν εἰκοσταίῳ, τινὲς μὲν ἀπὸ γενετῆς διμηνιαῖον εἶναι βουλόμενοι, καθ᾽ ἣν ἡμέραν κρίνεται τὸ παιδίον, εἰκοσταῖον δ᾽ ἀφ᾽ ἧς ἡμέρας ἤρξατο νοσεῖν, τινὲς δὲ διμηνιαίῳ γινομένῳ τὴν νόσον ἀρξαμένην κριθῆναι μεθ᾽ ἡμέρας εἴκοσι — καὶ τούτων οὕτως ἐχόντων
17a.863 ἡμᾶς δεῖ προλέγειν, ὅτι τούτῳ τῷ παιδίῳ καὶ ἀπόστασίς τις εἰς ἄρθρα γενήσεται μετὰ τὴν κρίσιν. καὶ μὴν οὔτε διὰ παντὸς οὔθ᾽ ὡς τὸ πολὺ συμβήσεται τοῦτο. χρὴ δὲ τὰς προρρήσεις ἢ ἀμεταπταίστους εἶναι διὰ παντὸς ἢ σπανιάκις σφάλλεσθαι. τὸ δ᾽ ὀλιγάκις μὲν ἐπιτυγχάνειν, πλεονάκις δ᾽ ἀποτυγχάνειν οὐ τεχνικόν.

Ἢν μὲν κάτω τοῦ ὀμφαλοῦ καταστῇ τὰ ἄνω ἐν τοῖσι κάτω ἄρθροισιν, ἀγαθόν. ἢν δὲ ἄνω, οὐχ ὁμοίως λύει τὴν νοῦσον, ἢν μὴ ἐκπυήσῃ.

Ὅτι μὲν ἔτι περὶ τῶν παιδίων λέγει ταῦτα, δῆλόν ἐστι διὰ τῶν ἐφεξῆς εἰρησομένων. ὅ γε μὲν λόγος οὗτος οὐ τῶν ἐπὶ μέρους ἐστίν, ἀλλὰ τῶν καθόλου καὶ κατὰ τὸ δεύτερον τῶν Ἐπιδημιῶν καὶ κατὰ τοὺς Ἀφορισμοὺς καὶ κατὰ τὸ Προγνωστικὸν εἰρημένος, ἃ προεξηγησάμεθ᾽ ἅπαντα. βούλεται γὰρ τὰς μὲν ἐκ τῶν ἄνω χωρίων εἰς τὰ κάτω τοῦ ὀμφα
17a.864 λοῦ γινομένας ἀποστάσεις ἀγαθὰς εἶναι, τὰς δὲ μὴ τοιαύτας οὐκ ἀγαθάς. ἐκλύει δ᾽ αὐτῶν τι τῆς κακίας, ἐὰν ἐκπυήσῃ τὰ οἰδήματα. κέχρηται δὲ κἀνταῦθα τῇ προσηγορίᾳ τοῦ οἰδήματος ἐπὶ τοῦ γενικοῦ σημαινομένου τῶν παρὰ φύσιν ὄγκων, ὡς καὶ πρόσθεν εἴρηται.

Τὰ δ᾽ ἐν ὤμοισιν ἐκπυέοντα τοῖσι τηλικούτοισι γαλιάγκωνας ποιέει.

Ὅτι περὶ τῶν νηπίων ἔτι διαλέγεται, σαφὲς αὐτὸς ἐποίησεν εἰπὼν τοῖσι τηλικούτοισιν, ἀξιῶν ἡμᾶς ἐπὶ τὴν ἀρχὴν ἀναφέρειν τοῦ λόγου καὶ τὰ νῦν εἰρημένα. κατὰ τίνα δὲ τρόπον γαλιάγκωνες οἱ τοιοῦτοι γίνονται, μεμάθηκας ἔν τε τῷ Περὶ ἄρθρων αὐτοῦ συγγράμματι καὶ τοῖς ἡμετέροις ὑπομνήμασιν εἰς αὐτό.

17a.865 Λύσειε δ’ ἂν καὶ ἑλκυδρίων κάτω ἔκθυσις, ἢν μὴ στρογγύλα καὶ βαθέα ᾖ· τὰ δὲ τοιαῦτα ὀλέθρια καὶ ἄλλως παιδίοισιν.

Παρὰ τὸ «ἐκθύειν», ὅπερ ἐστὶν ἐξορμᾶν, τὴν ἔκθυσιν εἴρηκεν, ἐκτεινομένης τῆς μέσης συλλαβῆς, ὡς εἰ καὶ ἐξόρμησιν εἰρήκει. λύειν δ’ αὐτά φησι τὰς ἀποσκήμματος δεομένας διαθέσεις, ἢν μὴ στρογγύλα καὶ βαθέα ᾖ, τουτέστιν εἰ μὴ κακοήθη μάλιστα γένοιτο· καὶ γὰρ ἀνιαρὰ τοῖς βρέφεσιν, οὐ δυναμένοις φέρειν οὔτε τὰς ὀδύνας οὔτε τὴν θεραπείαν, καὶ ἄλλως δυσίατα τὰ τοιαῦτα.

Λύσειε δ’ ἂν καὶ αἷμα ῥυέν, μᾶλλον δὲ τοῖσι τελειοτέροισιν ἐπιφαίνεται.

17a.866 Ὅτι μὲν αἷμα ῥυὲν πᾶσι τοῖς τοιούτοις ὠφέλιμόν ἐστι, πολλάκις ἤδη μεμαθήκαμεν. ἐπὶ δὲ τῶν νηπίων, ὑπὲρ ὧν διαλέγεται, τὴν ἀρχὴν οὐδὲ ἐπιφαίνεται τὸ αἷμα πλὴν εἴ που σπανίως. διὸ καὶ προσέθηκεν αὐτὸς μᾶλλον δὲ τοῖσι τελειοτέροισιν ἐπιφαίνεται, τουτέστι τοῖς ἐπὶ πλέον ηὐξημένοις. τίνα δ’ ἐστὶ πάθη τὰ δι’ ὧν εἶπεν ἀποστάσεών τε καὶ αἱμορραγιῶν καὶ ἑλκυδρίων κρινόμενα τοῖς νηπίοις, οὐ πάνυ σαφῶς ἐδήλωσεν. ἡ γὰρ ἀρχὴ τῆς ῥήσεως ἦν· «νηπίοισι βηχίον σὺν γαστρὸς ταραχῇ καὶ πυρετῷ συνεχεῖ.» δύναται δὲ καὶ τῶν κατὰ πλευρόν τι καὶ πνεύμονα καὶ τῶν καθ’ ἧπάρ τε καὶ γαστέρα δι’ ὧν εἶπε συμπτωμάτων δηλοῦσθαι.

Δάκρυα ἐν τοῖσιν ὀξέσι τῶν φλαύρως ἐχόντων ἑκόντων μὲν χρηστόν, ἀκόντων δὲ παραρρέοντα κακόν.

17a.867 Περὶ τῶν τοιούτων δακρύων εἴρηται μὲν κἀν τῷ Προγνωστικῷ καὶ ἐν τοῖς Ἀφορισμοῖς. ἀλλὰ τελεώτερον ἐν τῷ πρώτῳ τῶν Ἐπιδημιῶν, ἔνθα φησίν· «ὁκόσοισιν ἐν πυρετοῖς ὀξέσι, μᾶλλον δὲ καυσώδεσιν ἀέκουσι δάκρυα παραρρεῖ, τούτοισιν ἀπὸ ῥινῶν αἱμορραγίην προσδέχεσθαι, ἢν μὴ τἆλλα ὀλεθρίως ἔχωσιν. ἐπὶ τοῖσι δὲ φλαύρως ἔχουσιν οὐχ αἱμορραγίην, ἀλλὰ θάνατον σημαίνει.» καὶ ἡμεῖς ἐξηγησάμεθα τὴν ῥῆσιν ἐν τοῖς εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνήμασιν.

Καὶ οἷσι περιτείνεται βλέφαρον, κακόν.

Ἡ αὐτὴ διάθεσις ἐργάζεται τὸ τοιοῦτον βλέφαρον τῇ κατὰ τὸ Προγνωστικὸν εἰρημένῃ· «δέρμα τὸ περὶ τὸ μέτωπον σκληρὸν καὶ περιτεταμένον.» ὅτι δὲ ἐπὶ τῶν ὀξέων νοσημάτων λέλεκται καὶ τοῦτο καὶ τἆλλα τὰ ἐφεξῆς αὐτοῦ, κατὰ τὸ Προγνωστικὸν ὑπ᾽ αὐτοῦ δεδήλωται καὶ

17a.868 κατὰ τήνδε τὴν ῥῆσιν εἰπόντος «δάκρυα ἐν τοῖς ὀξέσι τῶν φλαύρως ἐχόντων ἑκόντων μὲν χρηστόν, ἀκόντων δὲ παραρρέοντα κακόν.»

Κακὸν δὲ καὶ τὸ ἐπιξηραινόμενον οἷον ἄχνη.

Φαίνεται γιγνόμενον καὶ τοῦτο ἐν τοῖς ὀξέσι νοσήμασιν, ὅταν ἐσχάτως ᾖ ξηρά, σὺν ἀρρωστίᾳ δυνάμεως μικρῶν πάνυ λημυδρίων ἐκπιπτόντων κατὰ τοὺς ὀφθαλμούς, εἶτ᾽ αὖθις ἐπιξηραινομένων.

Καὶ τὸ ἀμαυρὸν κακόν.

Ἐν τοῖς ὀξέσι νοσήμασι τὸ ἀμαυροῦσθαι τὰς ὄψεις ἀρρωστίαν καὶ νέκρωσιν σημαίνει τῆς ὀπτικῆς δυνάμεως.

17a.869 Καὶ τὸ αὐχμηρὸν κακόν.

Ἦν μὲν καὶ τὸ οἷον ἄχνην ἔχον αὐχμηρόν, ἀλλὰ νῦν ὅτι, κἂν χωρὶς ἄχνης ᾖ, μοχθηρόν ἐστιν ἐδήλωσε.

Καὶ οἱ ῥυτιδούμενοι ἔνδοθεν.

Ὅταν ὁ ἐπιπεφυκὼς ὑμὴν τοῖς κινοῦσι τὸν ὀφθαλμὸν μυσὶν ὁ μέχρι τῆς στεφάνης ἐκτεινόμενος ἔκλυτος καὶ χαλαρὸς γένηται, ῥυτιδοῦσθαι συμβαίνει τοὺς ὀφθαλμοὺς ἔσωθεν. εἰ γὰρ ἔξωθεν ῥυτιδωθεῖεν, εἴη ἂν οὕτω γε τοῦ δέρματος τὸ πάθος. ὅτι δὲ ἀσθενείας καὶ καταψύξεώς ἐστι σημεῖον τὸ τοιοῦτον, δηλοῖ καὶ τὸ συμβαῖνον ἐπὶ τῶν πάνυ γερόντων· ὁρῶνται γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ ῥυτιδούμενοι.

17a.870 Οἱ πεπηγότες καὶ οἱ μόγις στρεφόμενοι καὶ οἱ ἐνδεδινημένοι.

Περὶ τῶν ὀφθαλμῶν καὶ ταῦτα διῆλθεν. οἱ μὲν γὰρ πεπηγότες, ὅπερ ἐστὶν ἀκίνητοι, τελειοτάτην ἐνδείκνυνται νέκρωσιν τῆς κατὰ τοὺς μῦς δυνάμεως, ὑφ᾽ ἧς ἐκινοῦντο πρόσθεν, ὅτ᾽ εἶχον κατὰ φύσιν. οἱ δὲ μόγις στρεφόμενοι πλησίον ἥκουσι τῆς τοιαύτης διαθέσεως. οἱ δὲ

ἐνδεδινημένοι παραφροσύνην ἢ τρόμον ἐνδείκνυνται τῶν τὸν ὀφθαλμὸν κινούντων μυῶν. γίνεται δὲ τὰ τοιαῦτα πάντα ἐν ὀξέσι νοσήμασι κινδυνώδεσι διὰ τὴν τῆς ἀρχῆς, τουτέστι τοῦ ἐγκεφάλου, κάκωσιν.

Καὶ τἆλλα ὅσα παρεῖται.

17a.871 Τίνα ταῦτ᾽ ἐστίν, ἃ λέγει παρεῖσθαι τῶν συμβαινόντων τοῖς ὀφθαλμοῖς; ἦ δηλονότι τὰ κατὰ τὸ Προγνωστικὸν εἰρημένα κατὰ τήνδε τὴν ῥῆσιν· «ἢν γὰρ τὴν αὐγὴν φεύγωσιν ἢ δακρύωσιν ἀπροαιρέτως ἢ διαστρέφωνται ἢ ὁ ἕτερος τοῦ ἑτέρου ἐλάσσων γίνηται ἢ τὰ λευκὰ ἐρυθρὰ ἴσχωσιν ἢ πελιδνὰ ἢ μέλανα φλεβία ἐν ἑωυτοῖσιν ἢ λῆμαι περὶ τὰς ὄψεις ἢ ἐναιωρούμενοι φαίνωνται ἢ ἐξίσχοντες ἢ ἔγκοιλοι ἰσχυρῶς γινόμενοι.» προεξηγησάμεθα δὲ ἐν ἐκείνῳ τῷ βιβλίῳ σὺν τοῖς ἄλλοις ἅπασι καὶ ταῦτα.

Πυρετοὶ οἱ μὲν δακνώδεες τῇ χειρί, οἱ δὲ πρῃέες, οἱ δὲ οὐ δακνώδεες μέν, ἐπαναδιδόντες δέ, οἱ δὲ ὀξέες μέν, ἡσσώμενοι δὲ τῆς χειρός, οἱ δὲ περικαέες μὲν εὐθέως, οἱ δὲ διὰ παντὸς βληχροί, ξηροί, οἱ δὲ ἁλμυρώδεες, οἱ δὲ πεμφιγώδεες ἰδεῖν δεινοί, οἱ δὲ πρὸς τὴν χεῖρα νοτιώδεες, οἱ δὲ ἐξέρυθροι, οἱ δὲ ἔξωχροι, οἱ δὲ πελιοὶ καὶ τὰ ἄλλα τοιαῦτα.

Κἀνταῦθα πάλιν ἐπὶ τῇ τελευτῇ τοῦ λόγου προσέθηκε καὶ τὰ ἄλλα
17a.872 τοιαῦτα διὰ τὸ μόνας ἑαυτῷ τὰς ἀξιολόγους διαφορὰς τῶν πυρετῶν ὑποτετυπῶσθαι. πρώτας μὲν οὖν ἔγραψε τὰς κατ᾽ αὐτὴν τὴν οἰκείαν τῶν πυρετῶν οὐσίαν, οὐσία δὲ αὐτῶν ἐστιν οὐ καθ᾽ Ἱπποκράτην μόνον καὶ τοὺς ἀρίστους ἰατρούς, ἀλλὰ καὶ κατὰ τὴν κοινὴν πάντων ἀνθρώπων ἔννοιαν ἡ παρὰ φύσιν θερμασία, μάλιστα μὲν εἰς ὅλον ἐκτεταμένη τὸ ζῷον, εἰ δὲ μή, ἀλλὰ πάντως ἤτοι γε ἐν τοῖς πλείστοις μορίοις ἢ ἐν τοῖς κυριωτάτοις ὑπάρχουσα. καὶ πολλάκις γε τὸ μὲν ἅπαν δέρμα θερμασίαν οὐδεμίαν σαφῆ ἔχειν φαίνεται παρὰ φύσιν οὔθ᾽ ἡμῖν τοῖς ἔξωθεν ἁπτομένοις οὔτε τοῖς κάμνουσιν, αἰσθάνονται δὲ αὐτῆς οἱ νοσοῦντες ἐν τῷ βάθει καί φασι διακαίεσθαι τὰ σπλάγχνα καὶ πρὸς τούτῳ γε ἔνιοι καὶ ἀσώδεις εἰσὶ καὶ διψώδεις καὶ ἄγρυπνοι. νῦν οὖν ὁ Ἱπποκράτης τὰς διαφορὰς τῶν πυρετῶν γράφει, ὅσαι διαγινώσκονται τοῖς ἰατροῖς οὐκ ἐξ ὧν οἱ κάμνοντες λέγουσιν, ἀλλ᾽ ἐξ ὧν αὐτοὶ διά τε τῆς ἁφῆς καὶ τῆς ὄψεως ἐναργῶς αἰσθάνονται. πρῶται δ᾽ εἰσὶ καὶ κυριώταται αἱ κατὰ τὴν

17a.873 οἰκείαν οὐσίαν, ὡς ἔφην, τῶν πυρετῶν, αἱ διὰ τῆς θερμασίας. οὐ γὰρ ἐν τῇ τῶν ἀρτηριῶν κινήσει ἡ τῶν πυρετῶν ἐστιν οὐσία. τοῦτο δὲ ὅπως ἡμάρτηται τοῖς περὶ τὸν Ἐρασίστρατόν τε καὶ Χρύσιππον, ἤδη μεμάθηκας.

ἡ τοίνυν πυρεκτικὴ θερμασία τοῖς ἁπτομένοις τῶν πυρεττόντων σωμάτων ἤτοι δριμεῖα καὶ δακνώδης ἐστὶν ἢ μετρίως ἀνιαρά. τὸ γὰρ ἡδὺ καὶ οἰκεῖον, ὁποῖον ὑπάρχει τῇ κατὰ φύσιν, οὐδέποτ᾽ ἔχει. καθάπερ οὖν καὶ ἄλλα πολλὰ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἀλλήλων διαφέροντα τοῖς πέλας ἑρμηνεύομεν εὐφημότερον, οὐκ ἀληθέστερον, οὕτω καὶ περὶ τῆς βραχέως ἀνιαρᾶς θερμασίας ἐνίοτέ φαμεν ὡς οὐδὲν ὅλως ἀνιαρὸν ἔχει, παραβάλλοντες αὐτὴν τῇ σφοδρὸν ἐχούσῃ τὸ λυπηρόν. ἐνίοτε μὲν οὖν ἡ θερμασία φαίνεται πλείστη τε ἅμα καὶ δριμυτάτη, πολλάκις δὲ ὀλίγη μέν, οὐκ ἀπολειπομένη δὲ τῆς δριμυτάτης, ἢ πάλιν δριμυτάτη μέν, οὐ μὴν πολλή γε. καὶ τούτων ἕκαστον ὧν εἶπον ἐνίοτε φαίνεται μετ᾽ ὀλίγον χρόνον, οὐ κατὰ τὴν πρώτην ἐπιβολὴν τῆς χειρός, ὥσπερ γε καὶ
17a.874 μειοῦσθαι τὰ κατὰ τὴν πρώτην ἐπιβολὴν φανέντα κατὰ μέγεθός τε καὶ δριμύτητα δόξει σοί ποτε μέχρι χρόνου πλείονος ἐπιβεβλημένης τῷ κάμνοντι τῆς χειρός. καὶ τοίνυν ἐνίοτε μὲν αὐχμηρὰ καὶ κατάξηρος φαίνεται ἡ θερμασία, καθάπερ εἰ λίθου τινὸς ἡψάμεθα θερμοῦ. πολλάκις δὲ φαντασία γίνεται πάλιν νοτιώδης καὶ ὑγρά, πολλάκις δὲ ἀτμώδης, ὥστ᾽ αἰσθάνεσθαι σαφῶς ἀναφερομένου τινὸς ἐκ τοῦ τῶν καμνόντων σώματος ἀτμοῦ παμπόλλου. καὶ τούτων πάλιν αὐτῶν ὥσπερ καὶ τῶν προειρημένων ἔνια μὲν εὐθὺς ἐξ ἀρχῆς φανέντα διαμένει, τινὰ δ᾽ ἤτοι προσαυξανομένην ἢ διαλυομένην ἔχει τὴν ἐξ ἀρχῆς φανεῖσαν διαφοράν, ἔνια δὲ καὶ γενομένην ἑτέραν οὐδ᾽ ὅλως ἐξ ἀρχῆς πεφηνυῖαν καὶ διαφερομένην τελέως τῶν ἐξ ἀρχῆς ἑωραμένων. αἱ μὲν οὖν κατ᾽ αὐτὴν τῶν πυρετῶν τὴν οὐσίαν διαφοραὶ τοιαῦταί τινές εἰσι. περὶ δὲ τῶν ἄλλων ἐφεξῆς ὀψόμεθα, πρότερον γὰρ ὀρθῶς ἔχει τὰς εἰρημένας ἐφαρμόσαι τῇ λέξει τοῦ Ἱπποκράτους.

ἐν τῷ τοίνυν φάναι πυρετοὶ οἱ μὲν δακνώδεες τῇ χειρί, οἱ δὲ πρῃέες ἐνδείκνυταί σοι τὸν λόγον αὐτῷ γίνεσθαι περὶ τῶν διὰ παντὸς ἤτοι
17a.875 δακνωδῶν ἢ πρῃέων φαινομένων. ἐπιφέρων γοῦν λέγει οἱ δὲ οὐ δακνώδεες μέν, ἐπαναδιδόντες δέ, δηλῶν ἐνταῦθα τοὺς ἐξ ἀρχῆς μὲν οὐ

φανέντας δακνώδεις, ἐπικειμένῃ δὲ τῇ χειρὶ μέχρι πλείονος αἴσθησιν ἐργαζομένους δακνώδη. τούτοις δ' ἔμπαλιν ἔχουσιν, ἐφ' ὧν φησιν· οἱ δὲ ὀξέες μέν, ἡσσώμενοι δὲ τῆς χειρός. ἐν ἀρχῇ γὰρ φανέντες ὀξεῖς ἐκλύονται κατὰ βραχύ. τὸ δὲ ὀξέες ἐπὶ τῆς ταχέως ἀπαντώσης τῇ χειρὶ θερμασίας ἐνδεικνυμένης τε τὴν ἑαυτῆς κίνησιν ὠκεῖαν ἀκούειν σε χρή, καθάπερ ὀξεῖς τινὰς ὀνομάζομεν δριμεῖς ἐν ἴσῳ τῷ ταχεῖς, ὀξέα τε νοσήματα λέγομεν, ὅσα ταχέως διεξέρχεται τοὺς ἰδίους καιροὺς ἄχρι τῆς τελευτῆς. εἴτε δὲ «χερσὶν» εἴτε χειρὶ λέγοις, πρὸς τὸ τὰς εἰρημένας διαφορὰς γινώσκειν οὐδὲν διοίσει. δῆλον μὲν γὰρ ἦν τῷ γε νοῦν ἔχοντι τὰς τοιαύτας διαφορὰς οὐ τοῖς ὀφθαλμοῖς, ἀλλὰ ταῖς χερσὶν αἰσθητὰς
17a.876 εἶναι. προστιθέασι δὲ ἅπαντες ἄνθρωποι καὶ τὰς τοιαύτας προσθήκας ἐνίοτε φύσει πρὸς τοῦτ' ἀγόμενοι συναυξανούσας τὴν ἐνάργειαν τῶν λεγομένων, καὶ μάλιστ' ἐπ' ἐκείνων τῶν πραγμάτων, ἐφ' ὧν ἔστι διὰ τεκμηρίων τινῶν καὶ σημείων εὑρεῖν τὸ ζητούμενον, οὐκ αἰσθητὴν ποιήσασθαι τὴν διάγνωσιν. οὕτως οὖν καὶ ὁ Ἱπποκράτης οὐ μόνον ἐν ἀρχῇ τοῦ λόγου τῶν χειρῶν ἐμνημόνευσεν, ἀλλὰ κἀν τῷ φάναι οἱ δὲ ὀξέες μέν, ἡσσώμενοι δὲ τῆς χειρός. ἐφεξῆς δὲ τὴν κατὰ μέγεθος αὐτῶν διαφορὰν ἐνδεικνύμενος ἔφη· οἱ δὲ περικαέες εὐθέως, οἱ δὲ διὰ παντὸς βληχροί. κατὰ τί μὲν οὖν ἡ τοιαύτη φαντασία γίνεται τοῖς ἁπτομένοις, ὡς ἤτοι πολλὴν εἶναι δοκεῖν ἢ ὀλίγην τὴν θερμασίαν, αὖθις ὀψόμεθα, νυνὶ δ' ὅτι φαίνεται μόνον εἰπεῖν ἀρκέσει. καθάπερ γὰρ ἐκτός, εἰ καὶ τοὺς ὀφθαλμούς τις ἐγκαλύψας ἅψαιτο φλογός, ἤτοι πολλῆς αἰσθάνεται τῆς κατ' αὐτὴν οὐσίας ἢ ὀλίγης, οὐδεμιᾶς ἐν τῇ ποιότητι τῆς θερμασίας αἰσθανόμενος διαφορᾶς, οὕτως ἔχει κἀπὶ τῶν πυρετῶν. ἐνίοτε γὰρ ἡ μὲν κατὰ τὴν ποιότητα διάγνωσις τῆς θερμασίας ἡ αὐτὴ φαίνεται τῇ καθ'
17a.877 ἕτερόν τι σῶμα, διαφέρειν δ' ἀλλήλων δοκοῦσι τῇ ποσότητι. τῶν δ' ἐφεξῆς εἰρημένων τὸ μὲν ξηροὶ σαφὲς ἱκανῶς ἐστι, τὸ δ' ἁλμυρώδεες ἀσαφές· οὐ γὰρ ἁφαῖς αἰσθητόν, ἀλλὰ τῇ γεύσει μόνῃ τὸ ἁλμυρόν.

ἔτι δὲ μᾶλλον ἀσαφές ἐστι τὸ ἐφεξῆς εἰρημένον, ἔνθα φησίν· οἱ δὲ πεμφιγώδεες ἰδεῖν δεινοί. εὑρίσκομεν δὲ ἐνταῦθα διάφορον τὴν γραφήν, ἐν μὲν τοῖς πλείστοις τῶν ἀντιγράφων προσκειμένου τοῦ ἰδεῖν τῷ πεμφιγώδεες, ἐν ὀλίγοις δὲ μετὰ τὸ ἰδεῖν καὶ τοῦ δεινοὶ προσγεγραμμένου. μόνον δὲ τῶν ἐξηγητῶν εὗρον οὕτως γεγραμμένον

εἰδότα Σαβῖνον, ᾧ καὶ Μητρόδωρος ἠκολούθησεν ὅσοι τ᾽ ἀπ᾽ αὐτῶν εἰσι μέχρι τοῦ νῦν. καὶ μὴν κατ᾽ ὀλίγιστα τῶν ἀντιγράφων εὗρον ἁπλῶς γεγραμμένον οἱ δὲ πεμφιγώδεες, οὔτε τοῦ ἰδεῖν οὔτε τοῦ δεινοὶ προσγεγραμμένου. τοὺς μὲν οὖν ἁλμυρώδεις ἐπὶ τὴν ἀφὴν ἄγων τις ἐρεῖ τοὺς ὀδαξησμόν τινα ποιοῦντας εἶναι τοῖς ἁπτομένοις, ὥσπερ ὑφ᾽ ἅλμης τε καὶ πάντων τῶν ἁλμυρῶν γίνεται σωμάτων, τοὺς δὲ πεμφιγώδεις τοὺς πνευματώδεις. αἰσθανόμεθα γὰρ πολλάκις ἀναφερομένης διὰ τοῦ τῶν
17a.878 πυρεττόν των δέρματος ἀερώδους τινὸς ἀπορροῆς. ὡς, εἴ γε μὴ τούτους, ἀλλὰ τοὺς μετὰ φλυκταινῶν λέγει, παραλελοιπὼς ἂν εἴη τῶν ἀναγκαίων τινὰ διαφορὰν ἐκ τοῦ γένους τῶν προειρημένων, ὅσας ἔφην εἶναι κατ᾽ αὐτὴν μάλιστα τὴν οὐσίαν τῶν πυρετῶν. ὡς γὰρ δακνῶδες ἰσχυρῶς ἢ σφοδρὸν ἢ ξηρὸν ἢ αὐχμηρὸν εἶναι φαίνεται τὸ τῆς θερμασίας εἶδος ἐπὶ πολλῶν πυρετῶν, οὕτω καὶ πνευματῶδες, αἰσθανομένης τῆς χειρὸς ἀναφερομένου τινὸς ἐπ᾽ αὐτὴν πνεύματος, ἐνίοτε μὲν ἀτμώδους, ἐνίοτε δὲ ξηροῦ. πλείω δὲ σημαίνοντος τοῦ «τῆς πέμφιγος» ὀνόματος ἄλλος ἄλλο τῶν ἐξηγητῶν προχειρισάμενος, ὡς ἓν μόνον ἐκεῖνο σημαῖνον, ὅπερ αὐτὸς βούλεται, πιθανὸς εἶναι δοκεῖ τοῖς ἀκούουσιν.

ἤρκει μὲν οὖν ἴσως εἰρῆσθαι πεμφιγώδεις πυρετοὺς τοὺς πνευματώδεις, ὅτι τε τοῦ γένους ἐστὶ τῶν ἄχρι δεῦρο γεγραμμένων διαφορῶν, ὅτι τε παραλελοιπέναι δόξει ταύτην, εἰ μή τις ἀκούσειεν οὕτως. ἀλλὰ διὰ τὸ προσκεῖσθαι κατὰ τὰ πλεῖστα τῶν ἀντιγράφων τὸ ἰδεῖν τῷ πεμφιγώδεες
17a.879 ἀναγκαῖον ἡμῖν γίνεται καὶ γραμματικῆς ἀδολεσχίας ἐφάψασθαι χρησίμης ἐνίοτε καὶ αὐτῆς εἰς τὰ τοιαῦτα γινομένης. ἀκριβέστερον μὲν οὖν περὶ τῶν ζητουμένων παρ᾽ Ἱπποκράτει λέξεων ἑτέρωθι πεπραγματεύμεθα, νυνὶ δ᾽ ἀρκέσει τοῖς γραμματικοῖς ἀκολουθήσαντα κατὰ τὴν ἐκείνων διάταξιν εἰπεῖν τι περὶ τῶν κατὰ τὴν πέμφιγα σημαινομένων. δοκεῖ μὲν γὰρ αὐτὴν ἐπὶ τῆς πνοῆς Σοφοκλῆς ἐν Κόλχοις λέγειν·

ἀπῆξε πέμφιξ Ἰονίου πέλας πόρου,
καὶ αὐτὸς ἐν Σαλμωνεῖ σατύροις·
καὶ τάχ᾽ ἂν κεραύνια
πέμφιξι βροντῆς καὶ δυσοσμίας λάβοι.

Αἰσχύλος δὲ ἐν Προμηθεῖ δεσμώτῃ·
εὐθεῖαν ἕρπε τήνδε· καὶ πρώτιστα μὲν
βορεάδας ἥξεις πρὸς πνοάς, ἵν' εὐλαβοῦ
17a.880 βρόμον καταιγίζοντα, μή c' ἀναρπάσῃ
δυσχειμέρῳ πέμφιγι συστρέψας ἄφνω.
ἐπὶ δὲ τῶν ἀκτίνων ἡλίου δοκεῖ χρῆσθαι τῷ τῆς πέμφιγος ὀνόματι
Σοφοκλῆς ἐν Κόλχοις κατὰ τάδε τὰ ἔπη·
κἂν ἐθαύμασας
τηλέσκοπον πέμφιγα χρυσείαν ἰδών.
οὕτω δὲ καὶ Αἰσχύλος ἐν Ξαντρίαις·
ἃς οὔτε πέμφιξ ἡλίου προσδέρκεται
οὔτ' ἀστερωπὸν ὄμμα Λητῴας κόρης.
ἐπὶ δὲ τῆς ῥανίδος ὁ αὐτός φησιν ἐν Προμηθεῖ·
ἐξευλαβοῦ δὲ μή σε προσβάλῃ στόμα
πέμφιξ· πικρὰ γὰρ κοὐλία ζωῆς ἀτμοί.
καὶ ἐν Πενθεῖ·
μηδ' αἵματος πέμφιγα πρὸς πέδῳ βάλῃς.
17a.881 ἐπὶ δὲ τοῦ νέφους δοκεῖ τετάχθαι κατὰ τόδε τὸ ἔπος ἐν Σαλμωνεῖ
σατύροις παρὰ Σοφοκλεῖ·
πέμφιγι πᾶσιν ὄψιν ἀγγελέω πυρός.
καὶ παρ' Ἰβύκῳ·
πυκινὰς πέμφιγας πιόμενοι.
λέλεκται δ' οὗτος ὁ λόγος αὐτῷ κατά τινα παραβολὴν ἐπὶ χειμαζομένων εἰρημένην. διὸ καὶ τῶν γραμματικῶν οἱ πλεῖστοι ἐπὶ τῶν κατὰ τοὺς ὄμβρους σταγόνων εἰρῆσθαί φασι τὰς πέμφιγας. ... ὁ μὲν γὰρ Καλλίμαχος ὧδε·
μὴ διὰ πεμφίγων ἐνάγουσιν ἔα.
ὁ δὲ Εὐφορίων οὕτως εἶπεν·
ἠπεδανὸν πέμφιγες ἐπιτρίζουσι θανόντων.

τὰ μὲν οὖν ἐκ τοῦ τῆς πέμφιγος ὀνόματος σημαινόμενα καὶ δὴ λέλεκται, προείρηται δὲ καὶ περὶ τῶν δύο σημαινομένων ἐξ αὐτῶν, ἐπειδὴ πάντες τῶν ἐξηγητῶν οἱ ἄριστοι καὶ κατὰ ταῦτα ἐδέξαντο τῇ λέξει κεχρῆσθαι τὸν Ἱπποκράτην. νυνὶ δὲ ἐκ τῶν εἰρημένων τούτοιν τοῖν σημαινομένοιν

17a.882 ἐγχωρεῖ προσθεῖναι καὶ ἄλλο τρίτον, ἵνα πεμφιγώδεις ἀκούσωμεν εἰρῆσθαι τοὺς οἷον σπινθήρων ἐξαλλομένων καὶ ἀπαντώντων τῇ χειρὶ φαντασίαν ἀποστέλλοντας· καὶ εἶεν ἂν οἱ τοιοῦτοι πυρετοὶ συνθετοί τινες ἐκ δυοῖν ἁπλῶν τῶν ἤδη προειρημένων, τοῦ τε πνευματώδους καὶ πυρώδους. ἐναντιωθήσεται δὲ τῇ ἐξηγήσει ταύτῃ μόνον ἕν, εἴ γε προσκέοιτο κατά τινα τῶν ἀντιγράφων τῷ πεμφιγώδεες τὸ ἰδεῖν. εἰκότως οὖν ἀφῃρήκασιν αὐτό τινες. οἱ δὲ οὐκ ἀφελόντες ἤτοι τοὺς μετὰ φλυκταινῶν ἤκουσαν ἢ τοὺς τῆς ψυχῆς ἁπτομένους. ἐπεὶ δὲ οἱ μετὰ φλυκταινῶν ἀπὸ συμπτώματος ὀνομάζονται, πιθανῶς ἂν ἀκούοιμεν ἀπὸ συμβεβηκότος οὕτως αὐτὸν ὀνομάζειν τοὺς λοιμώδεις πυρετούς· ἔστι γὰρ ἀμέλει καὶ τοῦθ’ ἕν τι πυρετῶν εἶδος. ὅτι δ’ ἐν αὐτῷ φλύκταιναι γίνονται, καὶ ὁ Θουκυδίδης μαρτυρεῖ γράφων οὕτως· «καὶ τὸ μὲν ἔξωθεν ἁπτομένῳ σῶμα οὔτε ἄγαν θερμὸν ἦν οὔτε χλωρόν, ἀλλ’ ὑπέρυθρον, πελιδνόν, φλυκταίναις μικραῖς καὶ ἕλκεσιν ἐξηνθηκός.» ὅσοι δὲ τοὺς τῆς ψυχῆς ἁπτομένους πυρετοὺς εἰρῆσθαί φασι πεμφιγώδεις, πόρρω τῆς
17a.883 προκειμένης τῶν πυρετῶν διαφορᾶς ἀπεχώρησαν. ὠνόμαζον γὰρ ἔνιοι τῶν παλαιῶν καὶ φρενιτικόν τινα πυρετόν, ὥσπερ ἀμέλει καὶ ληθαργικὸν καὶ πλευριτικὸν καὶ περιπνευμονικόν. ἀλλ’ ὁ νῦν προκείμενος ἐν τῇ ῥήσει κατάλογος τῶν πυρετῶν ἀπὸ τῆς κατὰ τὴν θερμασίαν διαφορᾶς ἐστιν, ἐν ᾗ δύναται καὶ ὁ λοιμώδης περιέχεσθαι, σηπεδονῶδες ἔχων τὸ θερμόν, ὁ φρενιτικὸς δὲ οὐ δύναται διά τε τὸ μὴ σύνηθες εἶναι, καθάπερ ἄλλοις, οὕτω καὶ τῷ Ἱπποκράτει πυρετῶν ἰδέαν ὀνομάζειν τὴν φρενῖτιν οὔτε ἀπὸ συμπτώματος, ὥσπερ ὁ τὰς φλυκταίνας γεννῶν, εἴη λελεγμένος, ἐν ταῖς εἰρημέναις διαφοραῖς αὐτὸν περιέχεσθαι, καθάπερ καὶ τοὺς ἄλλους, ὧν ἀρτίως ἐμνημόνευσεν. εὑρίσκεται γὰρ ὁ τῶν φρενιτικῶν πυρετὸς τὴν θερμασίαν ἔχων δακνώδη διὰ παντὸς ὁμοτόνως ἐν παντὶ χρόνῳ τῆς ἐπιβαλλομένης ἁφῆς, ὥστ’ εἰρῆσθαι πρῶτον ἁπάντων αὐτῶν. οὐκοῦν οὐδ’ ὅσοι τοὺς ἁλμυρώδεις πυρετοὺς εἰρῆσθαί φασιν ἀπὸ τῆς αὐτῆς τοῖς κάμνουσιν ἐν τῷ στόματι γινομένης αἰσθήσεως, ἀποδεξόμεθα τὴν ἐξήγησιν αὐτῶν. φαίνεται γὰρ ὁ Ἱπποκράτης ἁπάσας ἐφεξῆς τὰς πρὸς χεῖρα διαγνώσεις εἰρηκέναι κατὰ
17a.884 τὴν τῆς θερμασίας διαφοράν, ἐν ᾗ τὸ γένος ὅλον ἐστὶ καὶ ἡ οὐσία τῶν πυρετῶν. εἰ γὰρ καὶ τὸν λοιμώδη δεξαίμεθα λελέχθαι πεμφιγώδη, τὴν

μὲν προσηγορίαν ἀπὸ συμβεβηκότος ἔξει, τὸ δ᾽ εἶδος αὐτὸ κατὰ τὴν οἰκείαν οὐσίαν τῶν πυρετῶν. κατὰ τὸν αὐτὸν δὲ λόγον οὐδ᾽ οἱ τοὺς ἁλμυρώδεις εἰρῆσθαι φάντες, ὅσοι πάνθ᾽ ὅσων ἂν ὁ κάμνων γεύηται φαίνεσθαι ποιοῦσιν ἁλμυρά, τῶν προκειμένων ἐν τῇ νῦν διδασκαλίᾳ διαφορῶν τοῦ πυρετοῦ μνημονεύουσι. καὶ εἴπερ ἐν τῇ τῶν πυρετῶν διαφορᾷ καὶ τούτους ὁ Ἱπποκράτης ἐτίθετο, πάντως ἂν κἀκείνους ἅμ᾽ αὐτοῖς εἶπεν, ἐφ᾽ ὧν καὶ τὸ σίαλον αὐτὸ καὶ πάνθ᾽ ὅσων ἂν ὁ νοσῶν γεύηται πικρὰ φαίνεται. ταύτας μὲν οὖν τὰς διαφορὰς οὐκ ἐν ταῖς τῶν πυρετῶν, ἀλλ᾽ ἐν ταῖς τῶν χυμῶν διαγνώσεσιν ἄμεινον τίθεσθαι, τοὺς δὲ πυρετοὺς ἐν ταῖς τῆς θερμασίας. ὥσπερ γὰρ οἱ χυμοὶ ταῖς γεύσεσίν εἰσιν αἰσθητοί, κατὰ τὸν αὐτὸν λόγον οἱ πυρετοὶ τῇ ἁφῇ. ὅτι δὲ οὐδὲ τὸ δεινοὶ καλῶς προσέθηκαν οἱ περὶ τὸν Σαβῖνον οὕτως γράψαντες τὴν λέξιν· «οἱ δὲ πεμφιγώδεες ἰδεῖν δεινοί», καὶ πρόσθεν μὲν εἶπον, ἀλλὰ καὶ νῦν ἀνα
17a.885 μνήσω· δεινοὺς γὰρ ἰδεῖν αὐτοὺς εἰρῆσθαι λέγουσι πρὸς ἡμῶν μέν, ἐὰν μετὰ φλυκταινῶν καὶ ἑλκώσεων γίνωνται, κατ᾽ αὐτοὺς δέ, ὅταν παρακόπτωσι καὶ φοβερὸν ἐμβλέπωσιν. περὶ δὲ τούτων ἀμφοτέρων ἤντινα χρὴ γνώμην ἔχειν, προειρήκαμεν. ὁμοίως δὲ ἥμαρτον καὶ οἱ πνευματώδεις μὲν αὐτοὺς εἰρῆσθαι λέγοντες, οὐ πρὸς τὴν ἁφὴν τὴν διάγνωσιν ἀναφέροντες, ἀλλ᾽ ἐπὶ δυσπνοίας εἶδος, ἐν ᾧ μέγα καὶ πυκνὸν γίνεται τὸ πνεῦμα. πιθανώτατον οὖν ἐστιν ἢ πρὸς τὴν ἁφὴν πνευματώδη νομίζειν ἢ τὸν λοιμώδη λελέχθαι πεμφιγώδη. προστεθέντος δὲ κατὰ τὴν ῥῆσιν τῷ πεμφιγώδεες τοῦ δεινοί, ὁ λοιμώδης μόνος ἐστὶ δηλούμενος, οὗ τὸ πρὸς ἄλλους διαφέρον ἐστὶ τὸ σηπεδονῶδες εἶναι τὸ θερμόν, οἷόνπερ κἀν τῷ νῦν γενομένῳ πολυχρονιωτάτῳ λοιμῷ. διὰ τοῦτο οὖν οὐδὲ θερμοὶ καὶ διακαεῖς ἐφαίνοντο τοῖς ἁπτομένοις οἱ λοιμώττοντες, καίτοι τά γ᾽ ἔνδον ἰσχυρῶς διακαιόμενοι, καθάπερ καὶ ὁ Θουκυδίδης ἔφη· «καὶ τὸ μὲν ἔξωθεν ἁπτομένῳ σῶμα οὔτ᾽ ἄγαν θερμὸν ἦν οὔτε χλωρόν, ἀλλ᾽
17a.886 ὑπέρυθρον, πελιδνόν, φλυκταίναις σμικραῖς καὶ ἕλκεσιν ἐξηνθηκός. τὰ δὲ ἐντὸς οὕτως ἐκαίετο, ὥστε μήτε τῶν πάνυ λεπτῶν ἱματίων καὶ σινδονίων τὰς ἐπιβολάς, μηδ᾽ ἄλλο τι ἢ γυμνοὶ ἀνέχεσθαι.» εἴρηταί γε μὴν ἡ πέμφιξ κἀν ταῖς Κνιδίαις γνώμαις, ἃς εἰς Εὐρυφῶντα τὸν ἰατρὸν ἀναφέρουσι, κατὰ τήνδε τὴν λέξιν· «οὐρέει ὀλίγον ἑκάστοτε αἰεὶ καὶ ἐφίσταται πέμφιξ οἷον ἐλαίου, χλωρὴ ὥσπερ ἀράχνιον.» ἐοίκασι γοῦν

οὗτοι πέμφιγα καλεῖν οὐχ ὅλην τὴν φλύκταιναν, ἀλλὰ μόνον τὸ περιγράφον αὐτὴν ἔξωθεν ἀραχνίῳ παραπλήσιον.

συντελέσας δ' οὖν ὁ Ἱπποκράτης τὰς οἰκειοτάτας τε καὶ πρώτας διαφορὰς τῶν πυρετῶν, ἑξῆς ἐπὶ τὰς κατὰ χρόαν μεταβάς φησιν· οἱ δὲ ἐξέρυθροι, οἱ δὲ ἔξωχροι, οἱ δὲ πελιοί. ἐξερύθρους μὲν εἶπεν οὐχ ἁπλῶς ἐρυθροὺς καὶ μετὰ τούτους ἑξῆς πάλιν ἐξώχρους οὐκ ὠχρούς, πελιοὺς δ' ἁπλῶς οὐδὲν αὐτοῖς ἐπιτάσεως τοῦ δηλουμένου προσθείς, ὡς εἰ καὶ πελιδνοτάτους τούτους εἰρήκει· τοῦτο μὲν γὰρ ἀεὶ μοχθηρὸν τὸ χρῶμα, τὸ δὲ τῶν
17a.887 ἐρυθρῶν τε καὶ ὠχρῶν σύνηθες. οἱ δὲ ἐξέρυθροι, τουτέστιν οἱ σφοδρῶς ἐρυθροί, σφοδροτάτην μὲν ἐμφαίνουσι τὴν θερμασίαν, τὴν δ' ὕλην αἷμα, καθάπερ οἱ ἔξωχροι τὴν ὠχρὰν χολήν. ἐπισκέπτου δὲ ἐπ' αὐτῶν τὰ διαχωρούμενα, κἂν μὲν αὐτὰ χωρὶς χολῆς εὑρίσκῃς, ἐξ ἀναχύσεως αὐτῆς γίνωσκε τὴν κατὰ φύσιν χροιὰν ὑπηλλάχθαι, ἐὰν δὲ αὖ μετὰ πολλῆς χολῆς, ἐν διαφορᾷ πυρετῶν τίθεσο τὴν χρόαν. οὗτοι μὲν οὖν οἱ πυρετοὶ μαρασμὸν ἐπιφέρουσιν, ἐὰν μὴ φθάσωσί ποτε μετὰ ῥίγους καὶ ἱδρῶτος κριθῆναι. οἱ δὲ ἐξέρυθροι τῶν συνόχων εἰσὶν ὑπὸ φλεβοτομίας ὠφελούμενοι τῆς ἄχρι λειποψυχίας ἀγούσης, ὡς ἐν τῇ τῆς Θεραπευτικῆς μεθόδου πραγματείᾳ μεμάθηκας, ἔνθα καὶ ἡ χρεία μεγάλη φαίνεται τῆς τῶν τοιούτων διαφορῶν γνώσεως, ἰδίαν ἑκάστης αὐτῶν ἐχούσης θεραπείαν. οἱ δὲ πελιοὶ τῶν πυρετῶν, ἀπὸ τῆς χρόας καὶ αὐτοὶ δηλονότι τὴν ἐπωνυμίαν εἰληφότες, ἐλλείπειν σημαίνουσι τὸν αἱματικὸν χυμὸν καὶ δηλονότι σὺν αὐτῷ καὶ τὸ ἔμφυτον θερμὸν καὶ διὰ τοῦτ' εἰσὶν
17a.888 ὀλέθριοι. ὧν ἔνιοι καὶ τὰς διὰ κενώσεως ἐπιφερομένας συγκοπὰς ἐπιφέρουσι, περὶ ὧν ἔμαθες ἐν τῇ Θεραπευτικῇ μεθόδῳ. τοὺς δὲ τοιούτους πυρετοὺς Εὐρυφῶν ὀνομάζει πελιὰς γράφων ὧδε· «πελιδνὸς πυρετὸς ἴσχει καὶ βρυγμὸς ἄλλοτε καὶ ἄλλοτε καὶ τὴν κεφαλὴν ἀλγέει καὶ τὰ σπλάγχνα ὀδύνη ἴσχει καὶ ἐμέει χολήν, καὶ ὅταν ὀδύνη ἔχῃ, ἐνορᾶν οὐ δύναται ὅτι βαρύνεται, καὶ ἡ γαστὴρ ξηρὴ γίνεται καὶ ὁ χρὼς πελιὸς ἅπας καὶ τὰ χείλεα οἷάπερ μόρα τρώξαντι καὶ τῶν ὀφθαλμῶν τὰ λευκὰ πελιὰ καὶ ἐξορᾷ ὥσπερ ἀπαγχόμενος, ὅτε δὲ ἧσσον τοῦτο πάσχει, καὶ μεταβάλλει πολλάκις.» ἀλλὰ κἀν τῷ Περὶ νούσων Ἱπποκράτει ... γεγραμμένῳ, τῷ δοκοῦντι τοῖς περὶ τὸν Διοσκουρίδην ὑφ' Ἱπποκράτους γεγράφθαι τοῦ Θεσσαλοῦ υἱέος, εἴρηταί τις νόσος πελιή. τοῦ βιβλίου δ'

ἐστὶν ἡ ἀρχὴ ἥδε· «οὐρέεται πολλόν, ὅταν ὑπερθερμανθῇ ἡ κεφαλή.» περὶ δὲ τῆς πελιῆς νόσου κατὰ λέξιν οὕτω γράφει· «πελιὴν πυρετὸς ἴσχει ξηρὸς καὶ φρὶξ ἄλλοτε καὶ ἄλλοτε καὶ τὴν κεφαλὴν ἀλγέει καὶ τὰ σπλάγχνα ὀδύνη ἴσχει καὶ ἐμέει χολήν, καὶ ὅταν ἡ ὀδύνη ἔχῃ, οὐ δύναται
17a.889 ἐνορᾶν, ἀλλὰ βαρύνεται· καὶ ἡ γαστὴρ ξηρὰ γίνεται καὶ ἡ χρόα πελιδνὴ καὶ τὰ χείλεα καὶ τῶν ὀφθαλμῶν τὰ λευκὰ πελιδνὰ καὶ ἐξορᾷ ὡς ἀγχόμενος· ἐνίοτε καὶ τὴν χρόαν μεταβάλλει καὶ ἐκ πελιδνοῦ ὑπόχλωρος γίνεται.» τινὲς δὲ πάλιν ἐνταῦθα μοχθηρῶς ἐξηγήσαντο πελιὸν πυρετόν, ἐφ᾽ οὗ τὰ διαχωρήματα πελιὰ φαίνεται. τούτοις γὰρ ἀκόλουθόν ἐστι καὶ μέλανα καλεῖν πυρετόν, ἐφ᾽ οὗ μελάνων ἔκκρισις γίνεται.

καταλείπεται μὲν οὖν ἔτι τὸ τέλος τῆς ῥήσεως ἐξηγήσασθαι, γεγραφότος αὐτοῦ καὶ τὰ ἄλλα τοιαῦτα, τουτέστι τοῖς εἰρημένοις. εἰρήκει δ᾽ ὑστέρας τὰς κατὰ τὴν χρόαν διαφοράς, οὐ κατὰ τὴν οὐσίαν αὐτὴν οὔσας τῶν πυρετῶν, ἐγγυτέρω γε μὴν τῶν ἄλλων τῶν ἀπό τινος συμβεβηκότος γινομένων, ὥσπερ ὅταν ἤτοι διαλείποντας ἢ συνεχεῖς λέγωμεν εἶναι τοὺς πυρετούς, καὶ τῶν διαλειπόντων τὸν μὲν τριταῖον, τὸν δὲ ἀμφημερινόν, τὸν δὲ τεταρταῖον, καὶ τῶν συνεχῶν τὸν μὲν ἡμιτριταῖον, τὸν δὲ καυσώδη, τὸν δὲ κρυμνώδη, τὸν δὲ τυφώδη, τὸν δὲ λοιμώδη, τὸν δὲ ἑλώδη, τὸν δὲ ἡπίαλον. ὁ δὲ Πραξαγόρας καὶ φρενιτικοὺς καὶ
17a.890 ληθαργικοὺς καὶ πρός γε τούτοις ἰκτερικούς τινας ὀνομάζει πυρετοὺς ἐν ταῖς διαφοραῖς τῶν ὀξέων. οἱ δὲ νεώτεροι καὶ συνοχόν τινα καλοῦσι πυρετόν, οὐ μόνον συνεχῆ, καὶ διαφοράς γε αὐτοῦ τίθενται τόν τε ὁμότονον ἢ ἀκμαστικὸν ὀνομαζόμενον καὶ τὸν ἐπακμαστικὸν καὶ τὸν παρακμαστικόν. καθ᾽ ἑτέραν δ᾽ αὖ τομὴν κοινὴν καὶ πρὸς τὰς ἄλλας νόσους ἐνίους μὲν ὀξεῖς πυρετοὺς ὀνομάζομεν, ἐνίους δὲ χρονίους καὶ κατ᾽ ἄλλην εὐήθεις τε καὶ κακοήθεις. καὶ μέντοι καί τινας μὲν τεταγμένους ἢ ἀτάκτους, ἄλλους δ᾽ αὖ πάλιν περιοδίζοντας καὶ πεπλανημένους. ἔνιοι δὲ τῶν παλαιῶν καὶ τοὺς ἀπὸ διαφερόντων μορίων ἀναπτομένους ἀπ᾽ ἐκείνων ὠνόμαζον, πλευριτικόν τινα πυρετὸν λέγοντες, ἡπατικόν τε καὶ σπληνικόν, ἑτέρους δ᾽ ἀπὸ συμπτώματος κωματώδη, καταφορικόν, ληθαργικόν, φρενιτικόν, ἰκτερικόν. ὑπὲρ ὧν ἁπάντων ἐν ταῖς περὶ αὐτῶν πραγματείαις ἔμαθες. ἐν δὲ τῷ νῦν ἐνεστῶτι λόγῳ τὰ τῆς ἐξηγήσεως αὐτάκρως πεπέρανται. πρὸς γὰρ τῷ τὴν ἐμὴν

17a.891 γνώμην ἀποφήνασθαι καὶ τῶν ἐνδόξων ἐξηγητῶν ἐμνημόνευσα, τοὺς ἄλλους ἅπαντας παραλιπών, ὅσοι περὶ διαφορᾶς πυρετῶν ἀπεφήναντό τι χωρὶς ὑπομνημάτων ἐξηγητικῶν, ἐν οἷς ἐστι καὶ ὁ Ἀρχιγένης, ὧν ἐν ἑτέρᾳ πραγματείᾳ μνημονεύσω.

Αἱ συντάσιες τοῦ σώματος καὶ οἱ σκληρυσμοὶ τῶν ἄρθρων κακὸν καὶ αὐτὸς διαλελυμένος καὶ αἱ κατακλάσιες τῶν ἄρθρων κακόν.

Τῷ μὲν συντεταμένῳ τὸ κεχαλασμένον ἐστὶν ἐναντίον, τῷ σκληρῷ δὲ τὸ μαλακόν. αὐτὸς γοῦν ἐν τοῖς ἑξῆς ἐρεῖ «δέρματος σκληροῦ μάλθαξις, συντεταμένου χάλασις.» εἴτε δὲ δέρμα συντεταμένον εἴτε ἄρθρον εἴτε σῶμα λέγοιτο, πρὸς τὸ κατὰ φύσιν ἔχον αὐτὸ παραβάλλοντες οὕτως εἰρῆσθαι νοήσομεν, ὅπερ οὔτε συντεταμένον οὔτε κεχαλασμένον, ἀλλὰ
17a.892 συμμέτρως ἔχον ἐστί. συντείνεται μὲν οὖν τὰ συντεινόμενα ποτὲ μὲν δι' οἰκείαν διάθεσιν, ἔστι δ' ὅτε πρός τινων ἑτέρων ἑλκόμενα· διὰ μὲν τὴν οἰκείαν διάθεσιν, ὅταν ἤτοι παγῇ διὰ ψῦξιν ἰσχυρὰν ἢ ξηρανθῇ διά τι τῶν ξηραινόντων αἰτίων — ἔστι γάρ, ὡς ἔμαθες, πλείω —, τείνεται δὲ ὑπὸ τῶν συνεχῶν ἔνια ξηραινομένων ἢ φλεγμαινόντων ἢ πηγνυμένων. ἔμπαλιν δὲ χαλαρὰ γίνεταί τινα παρὰ τὸ κατὰ φύσιν ὑγρότητι πολλῇ διαβρεχόμενα χωρὶς ψύξεως. σκληρύνεται δὲ τὰ σκληρυνόμενα διὰ ψῦξιν ἢ σκίρρον ἢ ξηρότητα. φλεγμονὴ γὰρ οὐ σκληρόν, ἀλλ' ἀντίτυπον ἐργάζεται τὸν ὄγκον, ὁμοίως τοῖς πεπληρωμένοις ἀσκοῖς ὑγρᾶς οὐσίας ἢ ἀέρος. ὥσπερ δὲ τῷ σκληρῷ παραπλήσιον φαινόμενον τὸ ἀντίτυπον ἀπὸ κοινοῦ συμβεβηκότος, ἐπειδὴ καὶ τὸ σκληρὸν ἀντίτυπόν ἐστι, πάμπολυ διαλλάττει κατὰ τὴν οἰκείαν φύσιν, οὕτως καὶ τῷ μαλακῷ σώματι τὸ ἔκλυτον ὁμοιότητά τινα ἔχον ὡς πρὸς τὴν αἰσθητὴν φαντασίαν οὐ τὴν αὐτὴν ἔχει διάθεσιν. ἀρρωστούσης γὰρ τῆς τοὺς μῦς κινούσης δυνάμεως ἔκλυτά τε καὶ πάρετα φαίνεται κείμενα τὰ τῶν ἀρρώστων σώματα.
17a.893 ταύτην μὲν οὖν τὴν διάθεσιν ἐδήλωσεν εἰπὼν καὶ αὐτὸς διαλελυμένος, ἐφεξῆς δὲ σαφῶς ἔφη καὶ αἱ κατακλάσιες τῶν ἄρθρων. ἔνιοι δὲ τὴν τρίτην συλλαβὴν οὐ διὰ τοῦ α γράφουσι κατακλάσιες, ἀλλὰ διὰ τοῦ ι «κατακλίσιες». ὅπως δὲ ἄμεινόν ἐστι γράφειν εὑρήσομεν ἀναμνησθέντες τῶν εἰρημένων ἐν τῷ Προγνωστικῷ περὶ κατακλίσεως ἐν τῇδε τῇ ῥήσει· «κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ τοῦ ἰατροῦ ἐπὶ

τὸ πλευρὸν τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν καὶ τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ τὰ σκέλεα ὀλίγον ἐπικεκαμμένα ἔχοντα.» πρόσσχες δὲ ἐνταῦθα τῷ τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ τὰ σκέλεα ὀλίγον ἐπικεκαμμένα ἔχοντι. τὸ γὰρ ἤτοι μηδ' ὅλως ἢ πλέον τοῦ προσήκοντος ἐπικεκάμφθαι μοχθηρὸν ἑκάτερον, ὅτι μὴ κατὰ φύσιν. αὐτὸς γοῦν εἶπεν· «οὕτως γὰρ καὶ οἱ πλεῖστοι τῶν ὑγιαινόντων κατακλίνονται.» διὰ τοῦτο δ' ἐφεξῆς ἐρεῖ· «ὕπτιον δὲ κεῖσθαι καὶ τὰς χεῖρας καὶ τὰ σκέλεα ἐκτεταμένα ἔχοντα ἧσσον ἀγαθόν.» ἐδείχθη δέ σοι δυνάμεως ἀρρωστίαν ἡ τοιαύτη

17a.894 κατάκλισις ἐνδείκνυσθαι καὶ ταύτης ἔτι μᾶλλον ἡ ἐφεξῆς εἰρημένη κατὰ τήνδε τὴν λέξιν· «εἰ δὲ καὶ προπετὴς γίνοιτο καὶ καταρρέοι ἀπὸ τῆς κλίνης ἐπὶ τοὺς πόδας, δεινότερόν ἐστιν.» ταύτας οὖν τὰς κατακλίσεις ἐν τῇ νῦν προκειμένῃ ῥήσει διὰ τῆσδε τῆς λέξεως ἐδήλωσε καὶ αὐτὸς διαλελυμένος, εἴ γε τὸ τὰς χεῖρας καὶ τὰ σκέλη ὀλίγον ἐπικεκαμμένα ἔχειν ἐπαινεῖται, τὸ περαιτέρω τοῦδε μείζονα κατάκλασιν ἐμφαίνει τῶν ἄρθρων, οὕτως γὰρ αὐτὴν ὠνόμασεν. ἐν δὲ τῷ Προγνωστικῷ κατὰ τήνδε τὴν λέξιν· «θανατῶδες δὲ τὸ κεχηνότα καθεύδειν καὶ τὰ σκέλεα ὑπτίου κειμένου συγκεκαμμένα εἶναι ἰσχυρῶς καὶ διαπεπλεγμένα», ὅπερ σημαίνει τὸ διεστῶτα μέχρι πλείονος. εἴτε δὲ συγκεκαμμένα εἴτε διαπεπλεγμένα γράφοιτο, καθ' ἑκάτερον ἐμφαίνεται κεκλάσθαι τὰ ἄρθρα. καὶ διὰ τοῦτ' ἄμεινόν ἐστι γράφειν ἐνταῦθα κατακλάσιες τῶν ἄρθρων διὰ τοῦ α, τὸ γὰρ διὰ τοῦ ι κατακλίσιες οὐ πάνυ τι καλῶς ἐπὶ τῶν ἄρθρων λέγεται, τῷ παντὶ σώματι τὰς τοιαύτας προσηγορίας εἰθισμένου τοῦ Ἱπποκράτους οὐ τοῖς ἄρθροις ἐπιφέρειν.

17a.895 Ὄμματος θράσος παρακρουστικὸν καὶ ῥίψις καὶ κατάκλασις κακόν.

Τὸ μὲν θράσος παρακρουστικόν ἐστι σημεῖον καὶ μάλισθ', ὅταν ἀναιδημόνως γίνηται, καθότι λέλεκται πολλάκις. ἡ δὲ ῥίψις τῶν ὀμμάτων ἐναντίον σύμπτωμά ἐστι τῷ θρασεῖ βλέμματι. δηλοῖ γὰρ τοὺς μὴ δυναμένους ἐπὶ πλέον ἀναπεπταμένους ἔχειν τοὺς ὀφθαλμοὺς ὑπ' ἀρρωστίας τῆς διοικούσης τὰ βλέφαρα δυνάμεως. κατάκλασιν δὲ λέγει τῶν ὀφθαλμῶν, ὅταν διαστρέφηται τὰ βλέφαρα, καθάπερ ἐν τῷ Προγνωστικῷ διῆλθεν εἰπών· «ἢν καὶ καμπύλον γένηται ἢ πελιὸν βλέφαρον ἢ χεῖλος ἢ ῥίς», κακόν.